# 31 ΜΑΪΟΥ 2026
# † ΚΥΡΙΑΚΗ Η΄ ΑΠΟ ΤΟΥ ΠΑΣΧΑ
# «Η ΕΟΡΤΗ ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ»

Τυπικὸν Πεντηκοσταρίου §§47-50.

*

**ΤΥΠΙΚΟΝ – ΔΙΠΤΥΧΑ ΕΚΚΛΗΣΙΑΣ ΕΛΛΑΔΟΣ Σελίδες 213 - 215**

31. † ΚΥΡΙΑΚΗ Η΄ ΑΠΟ ΤΟΥ ΠΑΣΧΑ. «Η ΕΟΡΤΗ ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ». (Τ.Μ.Ε., διατάξεις Πεντηκοσταρίου §§47-50.)

**Εἰς τὴν θ΄.** Ἀπολυτίκιον «Ὁ βάθει σοφίας»· κοντάκιον «Μετὰ τῶν ἁγίων». Ἡ ἀκολουθία ἅπασα κατὰ τὴν ἐν τῷ Πεντηκοσταρίῳ τάξιν.

**Εἰς τὸν ἑσπερινὸν** δὲν στιχολογοῦμεν Ψαλτήριον, εἰς δὲ τὰ ἑσπέρια (εἰς στίχους 10) δευτεροῦμεν τὸ «Πεντηκοστὴν ἑορτάζομεν» καὶ τὸ «Εἴδομεν τὸ φῶς». Εἰς τὴν εἴσοδον προκείμενον «Ὁ Κύριος ἐβασίλευσε» καὶ τὰ ἀναγνώσματα. Τὸ ἀπολυτίκιον «Εὐλογητὸς εἶ, Χριστὲ» ψάλλεται τρίς. Ἀπόλυσις «Ὁ ἐν εἴδει πυρίνων γλωσσῶν οὐρανόθεν καταπέμψας τὸ πανάγιον Πνεῦμα ἐπὶ τοὺς ἁγίους αὐτοῦ μαθητὰς καὶ ἀποστόλους Χριστὸς ὁ ἀληθινός...»

**Εἰς τὸ μεσονυκτικόν**. «Εὐλογητὸς ὁ Θεός», «Βασιλεῦ οὐράνιε» (ὅ περ ἐφεξῆς ἐπανέρχεται ἐν τῇ ἀρχῇ τῶν ἀκολουθιῶνμέχρι τοῦ ἑπομένου Πάσχα), τρισάγιον κ.λπ., ὁ ν΄ ψαλμὸς χῦμα, τὰ διὰ τὴν λιτὴν στιχηρὰ τῆς ἑορτῆς, τρισάγιον καὶ ἀπολυτίκιον «Εὐλογητὸς εἶ, Χριστέ».

**Εἰς τὸν ὄρθρον** εἰς τὸ «Θεὸς Κύριος» τὸ ἀπολυτίκιον τρίς, καὶ τὰ λοιπὰ ὡς ἐν τῷ Πεντηκοσταρίῳ. **Τὸ εἰδικὸν διὰ τὴν ἑορτὴν ὀρθρινὸν Εὐαγγέλιον** (Ἰω. κ΄ 19-23) μετὰ τῆς τάξεως αὐτοῦ. Ἀνάστασιν Χριστοῦ δὲν λέγομεν, ἀλλ᾽ εὐθὺς τὸν ν΄ ψαλμὸν χῦμα. Οἱ δύο κανόνες τοῦ Πεντηκοσταρίου μετὰ τῶν εἱρμῶν αὐτῶν «ἄνευ στίχων» (ἀλλὰ μετὰ τοῦ Δόξα, Καὶ νῦν, εἰς τὰ δύο τελευταῖα τροπάρια ἑκάστης ᾠδῆς τοῦ β΄ κανόνος). Ἀφ᾽ ς΄ ᾠδῆς τὸ κοντάκιον μετὰ τοῦ οἴκου τῆς ἑορτῆς καὶ τὰ συναξάρια Μηναίου καὶ Πεντηκοσταρίου. Καταβασίαι διπλαῖ οἱ εἱρμοὶ «Πόντῳ ἐκάλυψε» καὶ «Θείῳ καλυφθείς». Ἀντὶ τῆς στιχολογίας τῆς ᾠδῆς τῆς Θεοτόκου, ψάλλεται ἡ θ΄ ᾠδὴ τῶν κανόνων [τοῦ μὲν α΄ μετὰ στίχου «Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι», τοῦ δὲ β΄ μετὰ τοῦ μεγαλυναρίου «Ἀπόστολοι τὴν χάριν τοῦ Παρακλήτου, λαβόντες ἐξεπλήττοντο, ἑτέραις γλώσσαις λαλοῦντες, καθὼς τὸ Πνεῦμα ἐδίδου»] καὶ ἐν τέλει οἱ δύο εἱρμοὶ «Μὴ τῆς φθορᾶς» καὶ «Χαίροις, ἄνασσα». Ἐξαποστειλάρια (τὸ α΄ δίς, τὸ β΄ ἅπαξ), στιχηρὰ αἴνων εἰς 4 (δευτεροῦντες τὸ α΄), δοξολογία μεγάλη καὶ ἀπολυτίκιον «Εὐλογητὸς εἶ, Χριστέ» (ἅπαξ).

**Εἰς τὴν λειτουργίαν.** Τὰ ἀντίφωνα τῆς ἑορτῆς (ὁ γ΄ στίχος τοῦ α΄ ἀντιφώνου ἄρχεται «Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι...»).

ΕΙΣΟΔΙΚΟΝ «Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου· ᾄσωμεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου. Σῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ, ψάλλοντάς σοι ἀλληλούϊα».

ΜΕΤΑ ΤΗΝ ΕΙΣΟΔΟΝ, μόνον τὸ ἀπολυτίκιον καὶ τὸ κοντάκιον τῆς ἑορτῆς. Ἀντὶ τρισαγίου, «Ὅσοι εἰς Χριστόν».

ΑΝΑΓΝΩΣΜΑΤΑ. Ἀπόστολος: τῆς ἑορτῆς, Κυριακῆς η΄ Πράξεων, «Ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς» (Πρξ. β΄ 1-11)· Εὐαγγέλιον: ὁμοίως, Κυριακῆς η΄ Ἰωάννου, «Τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς ἑορτῆς» (Ἰω. ζ΄ 37-52, η΄ 12).

Εἰς τὸ Ἐξαιρέτως ὁ εἱρμὸς «Μὴ τῆς φθορᾶς». Κοινωνικὸν «Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἀλληλούϊα»· ἀντὶ τοῦ Εἴδομεν τὸ φῶς τὸ ἀπολυτίκιον «Εὐλογητὸς εἶ, Χριστέ». Ἀπόλυσις ὡς ἐν τῷ ἑσπερινῷ χθές. **Ἐν συνεχείᾳ συνάπτεται συνήθως καὶ ὁ ἑσπερινός, ὡς ἕπεται.**

**Ὁ ἑσπερινὸς τῆς γονυκλισίας.** Μετὰ τὸν προοιμιακὸν (ἄνευ Ψαλτηρίου) ἡ μεγάλη συναπτὴ ὡς ἐν τῷ Πεντηκοσταρίῳ.

ΕΙΣ ΤΟ «ΚΥΡΙΕ, ΕΚΕΚΡΑΞΑ», εἰς στίχους 6, ἑσπέρια στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς 3 «Παράδοξα σήμερον» κ.λπ. καὶ τοῦ Προδρόμου ἰδιόμελα ἕτερα 3 «Λύει τοῦ Ζαχαρίου τὴν σιωπήν», «Σήμερον ἡ φωνή», «Θεοῦ Λόγου μέλλοντος», Δόξα, Καὶ νῦν, «Βασιλεῦ οὐράνιε».

ΕΙΣΟΔΟΣ, «Φῶς ἱλαρόν», καὶ τὸ μέγα προκείμενον «Τίς θεὸς μέγας» μετὰ τῶν στίχων αὐτοῦ. Εἶτα αἱ εὐχαὶ τῆς γονυκλισίας κατὰ τὴν ἐν τῷ Πεντηκοσταρίῳ τάξιν.

ΑΠΟΣΤΙΧΑ, τὰ στιχηρὰ τοῦ Πεντηκοσταρίου «Νῦν εἰς σημεῖον τοῖς πᾶσι», Δόξα, τοῦ Προδρόμου «Ἠσαΐου νῦν τοῦ προφήτου», Καὶ νῦν, τῆς ἑορτῆς «Δεῦτε λαοί».

ΑΠΟΛΥΤΙΚΙΑ, «Εὐλογητὸς εἶ, Χριστέ», Δόξα, «Προφῆτα καὶ πρόδρομε», Καὶ νῦν, «Εὐλογητὸς εἶ, Χριστέ».

ΑΠΟΛΥΣΙΣ. *«Ὁ ἐκ τῶν πατρικῶν κόλπων κενώσας ἑαυτὸν καὶ τὴν ἡμετέραν ὅλην ἀνθρωπείαν προσλαβόμενος φύσιν καὶ θεώσας αὐτήν, μετὰ δὲ ταῦτα εἰς οὐρανοὺς αὖθις ἀνελθὼν καὶ ἐν δεξιᾷ καθίσας τοῦ Θεοῦ καὶ Πατρός, τό τε θεῖον καὶ ἅγιον καὶ ὁμοούσιον καὶ ὁμοδύναμον καὶ ὁμόδοξον καὶ συναΐδιον Πνεῦμα καταπέμψας ἐπὶ τοὺς ἁγίους αὐτοῦ μαθητὰς καὶ ἀποστόλους καὶ διὰ τούτου φωτίσας μὲν αὐτούς, δι᾽ αὐτῶν δὲ πᾶσαν τὴν οἰκουμένην, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ μητρός, ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου οὗ τὸ γενέ θλιον ἑορτάζομεν, τῶν ἁγίων ἐνδόξων πανευφήμων θεοκηρύκων καὶ πνευματοφόρων ἀποστόλων καὶ πάντων τῶν ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς διὰ τὴν ἑαυτοῦ ἀγαθότητα· ἀμήν».*

*

# ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

*

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εἰς τὸ Κύριε, ἐκέκραξα, ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν Στιχηρὰ Ἰδιόμελα γ΄ δευτεροῦντες τὸ πρῶτον.

Ἦχος α΄.
(ἐκ τῶν στιχηρῶν τοῦ μεγάλου ἑσπερινοῦ)

**Π**εντηκοστὴν ἑορτάζομεν, καὶ Πνεύματος ἐπιδημίαν, καὶ προθεσμίαν ἐπαγγελίας, καὶ ἐλπίδος συμπλήρωσιν· καὶ τὸ μυστήριον ὅσον, ὡς μέγα τε καὶ σεβάσμιον! Διὸ βοῶμέν σοι· Δημιουργὲ τοῦ παντὸς Κύριε, δόξα σοι. (δίς)

**Γ**λώσσαις ἀλλογενῶν, ἐκαινούργησας Χριστὲ τοὺς σοὺς Μαθητάς, ἵνα δι᾽ αὐτῶν σε κηρύξωσι, τὸν ἀθάνατον Λόγον καὶ Θεόν, τὸν παρέχοντα ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

**Π**άντα χορηγεῖ τὸ Πνεῦμα τὸ ἅγιον· βρύει προφητείας, ἱερέας τελειοῖ, ἀγραμμάτους σοφίαν ἐδίδαξεν, ἁλιεῖς θεολόγους ἀνέδειξεν, ὅλον συγκροτεῖ τὸν θεσμὸν τῆς Ἐκκλησίας. Ὁμοούσιε καὶ ὁμόθρονε, τῷ Πατρὶ καὶ τῷ Υἱῷ, Παράκλητε, δόξα σοι.

**Δόξα. Καὶ νῦν.** Ἦχος πλ. δ΄.
(ἐκ τῆς Λιτῆς)

**Ὅ**τε τὸ Πνεῦμά σου κατέπεμψας Κύριε, καθημένοις τοῖς Ἀποστόλοις, τότε οἱ τῶν Ἑβραίων παῖδες θεωροῦντες, ἐξίσταντο θάμβει· ἤκουον γὰρ αὐτῶν φθεγγομένων, ἑτέραις ξέναις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐχορήγει αὐτοῖς· ἰδιῶται γὰρ ὄντες, ἐσοφίσθησαν· καὶ τὰ ἔθνη πρὸς πίστιν ζωγρήσαντες, τὰ θεῖα ἐῤῥητόρευον· διὸ καὶ ἡμεῖς βοῶμέν σοι· Ὁ ἐπὶ γῆς ὀφθείς, καὶ ἐκ τῆς πλάνης σώσας ἡμᾶς, Κύριε, δόξα σοι.

Ἀπόστιχα Ἰδιόμελα. Ἦχος β΄.
(ἐκ τῶν στιχηρῶν τοῦ μεγάλου ἑσπερινοῦ)

**Ε**ἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν Πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες· αὕτη γὰρ ἡμᾶς ἔσωσε.

Στίχ. *Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός, καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.* (Ψαλμ. ν΄ 12)

**Ἐ**ν τοῖς Προφήταις ἀνήγγειλας ἡμῖν ὁδὸν σωτηρίας, καὶ ἐν Ἀποστόλοις ἔλαμψε, Σωτὴρ ἡμῶν, ἡ χάρις τοῦ Πνεύματός σου· σὺ εἶ Θεὸς πρῶτος, σὺ καὶ μετὰ ταῦτα· καὶ εἰς τοὺς αἰῶνας, σὺ εἶ ὁ Θεὸς ἡμῶν.

Στίχ. *Μὴ ἀπορρίψῃς με, ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.* (Ψαλμ. ν΄ 13)

**Ἐ**ν ταῖς αὐλαῖς σου ὑμνήσω σε τὸν Σωτῆρα τοῦ κόσμου, καὶ κλίνας γόνυ προσκυνήσω σου τὴν ἀήττητον δύναμιν, ἐν ἑσπέρᾳ, καὶ πρωΐ, καὶ μεσημβρίᾳ, καὶ ἐν παντὶ καιρῷ εὐλογήσω σε Κύριε.

Δόξα. Καὶ νῦν. Ἦχος ὁ αὐτός.

**Τ**ριάδα ὁμοούσιον ὑμνολογήσωμεν, Πατέρα, καὶ Υἱόν, σὺν Ἁγίῳ Πνεύματι· οὕτω γὰρ ἐκήρυξαν πάντες οἱ Προφῆται, καὶ Ἀπόστολοι μετὰ Μαρτύρων.

Ἀπολυτίκιον. Ἦχος πλ. δ΄.

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι᾽ αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, Φιλάνθρωπε, δόξα σοι. (ἐκ γ΄)

Καὶ Ἀπόλυσις.

*

## ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

*Εὐλογήσαντος τοῦ ἱερέως μετὰ τὸν Προοιμιακὸν Ψαλμόν, εἰς τό, Κύριε, ἐκέκραξα, δὲν στιχολογοῦμεν Ψαλτήριον, εἰς δὲ τὰ ἑσπέρια (εἰς στίχους 10) δευτεροῦμεν τὸ «Πεντηκοστὴν ἑορτάζομεν» καὶ τὸ «Εἴδομεν τὸ φῶς». Εἰς τὴν εἴσοδον προκείμενον «Ὁ Κύριος ἐβασίλευσε» καὶ τὰ ἀναγνώσματα.* **ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ**

### ΕΝΑΡΞΙΣ - ΠΡΟΟΙΜΙΑΚΟΣ ΨΑΛΜΟΣ

**Ὁ ἱερεύς·** ***Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.***

Ὁ χορός· **Ἀμήν.**

*Καὶ ἄρχεται ὁ ἀναγνώστης ἀναγινώσκων τὸν προοιμιακὸν ψαλμόν, λέγων οὕτω·*

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν **τῷ Βασιλεῖ** ἡμῶν Θεῷ.
Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν **Χριστῷ τῷ Βασιλεῖ** ἡμῶν Θεῷ.
Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν **αὐτῷ, Χριστῷ τῷ Βασιλεῖ** καὶ Θεῷ ἡμῶν.

*Ψαλμὸς ργ΄ (103).*

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον· Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.
Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.
Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ.
Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.
Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.
Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.
Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.
Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.
Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλῦψαι τὴν γῆν.
Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.
Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.
Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει· ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.
Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ· ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.
Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.
Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς, καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.
Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ· καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.
Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσας.
Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.
Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς.
Ἐποίησε σελήνην εἰς καιρούς· ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.
Ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ **δρυμοῦ**.
Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.
Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.
Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.
Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας· ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.
Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.
Ἐκεῖ πλοῖα διαπορεύονται· δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.
Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. Δόντος σου αὐτοῖς, συλλέξουσιν.
Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.
Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.
Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.
Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται.
ᾌσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.
Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.
Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς.
Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

*Καὶ πάλιν.*

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ· ἔθου σκότος, καὶ ἐγένετο νύξ.
Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.
**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.**
**Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**
*Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός. (ἐκ γ΄)* **Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.**

*Εἶτα, Συναπτὴ μεγάλη ὑπὸ τοῦ* ***Διακόνου.***

*

## ΤΑ ΕΙΡΗΝΙΚΑ

Πληρωθέντος τοῦ προοιμιακοῦ ψαλμοῦ, ὁ ἱερεὺς λέγει ἐνώπιον τῆς ἁγίας Τραπέζης τὰ εἰρηνικά, τοῦ χοροῦ ψάλλοντος μεθ᾽ ἑκάστην δέησιν τὸ

**Κύριε, ἐλέησον.**

*Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.*
*Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν.*
*Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως τοῦ Κυρίου δεηθῶμεν.*
*Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.*
*Ὑπὲρ τοῦ πατρός και ἀρχιεπισκόπου ἡμῶν (**Δεινός**), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ τοῦ Κυρίου δεηθῶμεν.*
*Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ καὶ τοῦ κατὰ ξηράν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ τοῦ Κυρίου δεηθῶμεν.*
*Ὑπὲρ τῆς πόλεως καὶ ενορίας ταύτης, πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς τοῦ Κυρίου δεηθῶμεν.*
*Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν τοῦ Κυρίου δεηθῶμεν.*
*Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν τοῦ Κυρίου δεηθῶμεν.*
*Ὑπὲρ τοῦ ρυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.*
*Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.*
*Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας (***Υπεραγία Θεοτόκε σῶσον ἡμᾶς***) μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.*

Ὁ χορός· **Σοί, Κύριε.**

***Ὁ ἱερεὺς** ἐκφώνως·*

***Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις,** τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν.**

*

## ΟΙ ΕΠΙΛΥΧΝΙΟΙ ΨΑΛΜΟΙ

*Ψαλμὸς ρμ΄ (140). Ἦχος **α΄***

**Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου· εἰσάκουσόν μου, Κύριε. Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου ἐν τῷ κεκραγέναι με πρὸς σέ. Εἰσάκουσόν μου, Κύριε.**
***Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου, ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή. Εἰσάκουσόν μου, Κύριε.***

Ἱστῶμεν στίχους ι΄, καὶ ψάλλομεν ἑσπέρια στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς γ΄ **πρὸς ἦχον α΄** δευτεροῦντες τὸ α΄. Εἶτα ε΄ **πρὸς ἦχον β΄** δευτεροῦντες πάλιν τὸ α΄.

### Ἦχος α΄.

*Στίχ. α΄. Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου.*

Πεντηκοστὴν ἑορτάζομεν, καὶ Πνεύματος ἐπιδημίαν, καὶ προθεσμίαν ἐπαγγελίας, καὶ ἐλπίδος συμπλήρωσιν· καὶ τὸ μυστήριον ὅσον, ὡς μέγα τε καὶ σεβάσμιον! Διὸ βοῶμέν σοι· Δημιουργὲ τοῦ παντὸς Κύριε, δόξα σοι.

*Στίχ. β΄. Ἐμὲ ὑπομενοῦσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι.*

**Πεντηκοστὴν ἑορτάζομεν, ...**

Ψαλμὸς ρκθ΄ (129).

*Στίχ. γ΄. Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε· Κύριε, εἰσάκουσον τῆς φωνῆς μου.*

Γλώσσαις ἀλλογενῶν, ἐκαινούργησας Χριστὲ τοὺς σοὺς Μαθητάς, ἵνα δι᾽ αὐτῶν σε κηρύξωσι, τὸν ἀθάνατον Λόγον καὶ Θεόν, τὸν παρέχοντα ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

*Στίχ. δ´. Γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.*

Πάντα χορηγεῖ τὸ Πνεῦμα τὸ ἅγιον· βρύει προφητείας, ἱερέας τελειοῖ, ἀγραμμάτους σοφίαν ἐδίδαξεν, ἁλιεῖς θεολόγους ἀνέδειξεν, ὅλον συγκροτεῖ τὸν θεσμὸν τῆς Ἐκκλησίας. Ὁμοούσιε καὶ ὁμόθρονε, τῷ Πατρὶ καὶ τῷ Υἱῷ, Παράκλητε, δόξα σοι.

**Ἦχος β´.**

*Στίχ. ε´. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.*

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν Πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες· αὕτη γὰρ ἡμᾶς ἔσωσε.

*Στίχ. ϛ´. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε· ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.*

**Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ...**

*Στίχ. ζ´. Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.*

Ἐν τοῖς Προφήταις ἀνήγγειλας ἡμῖν ὁδὸν σωτηρίας, καὶ ἐν Ἀποστόλοις ἔλαμψε, Σωτὴρ ἡμῶν, ἡ χάρις τοῦ Πνεύματός σου· σὺ εἶ Θεὸς πρῶτος, σὺ καὶ μετὰ ταῦτα· καὶ εἰς τοὺς αἰῶνας, σὺ εἶ ὁ Θεὸς ἡμῶν.

*Στίχ. η´. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ᾽ αὐτῷ λύτρωσις, καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.*

Ἐν ταῖς αὐλαῖς σου ὑμνήσω σε τὸν Σωτῆρα τοῦ κόσμου, καὶ κλίνας γόνυ προσκυνήσω σου τὴν ἀήττητον δύναμιν, ἐν ἑσπέρᾳ, καὶ πρωΐ, καὶ μεσημβρίᾳ, καὶ ἐν παντὶ καιρῷ εὐλογήσω σε Κύριε.

Ψαλμὸς ριϛ´ (116).

*Στίχ. θ´. Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτόν, πάντες οἱ λαοί.*

Ἐν ταῖς αὐλαῖς σου Κύριε, οἱ πιστοὶ τὸ γόνυ τῆς ψυχῆς καὶ τοῦ σώματος ὑποκλίναντες, ἀνυμνοῦμέν σε τὸν ἄναρχον Πατέρα, καὶ τὸν συνάναρχον Υἱόν, καὶ τὸ συναΐδιον καὶ πανάγιον Πνεῦμα, τὸ φωτίζον καὶ ἁγιάζον τὰς ψυχὰς ἡμῶν.

*Στίχ. ι´. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.*

Τριάδα ὁμοούσιον ὑμνολογήσωμεν, Πατέρα, καὶ Υἱόν, σὺν Ἁγίῳ Πνεύματι· οὕτω γὰρ ἐκήρυξαν πάντες οἱ Προφῆται, καὶ Ἀπόστολοι μετὰ Μαρτύρων.

**Δόξα. Καὶ νῦν.** Ἦχος πλ. δ´.

Λέοντος Δεσπότου.

Δεῦτε λαοί, τὴν τρισυπόστατον Θεότητα προσκυνήσωμεν, Υἱὸν ἐν τῷ Πατρί, σὺν ἁγίῳ Πνεύματι· Πατὴρ γὰρ ἀχρόνως ἐγέννησεν Υἱόν, συναΐδιον καὶ σύνθρονον, καὶ Πνεῦμα ἅγιον ἦν ἐν τῷ Πατρί, σὺν Υἱῷ δοξαζόμενον· μία δύναμις, μία οὐσία, μία Θεότης, ἣν προσκυνοῦντες πάντες λέγομεν· Ἅγιος ὁ Θεός, ὁ τὰ πάντα δημιουργήσας δι᾽ Υἱοῦ, συνεργίᾳ τοῦ Ἁγίου Πνεύματος. Ἅγιος ἰσχυρός, δι᾽ οὗ τὸν Πατέρα ἐγνώκαμεν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἐπεδήμησεν ἐν κόσμῳ. Ἅγιος ἀθάνατος, τὸ παράκλητον Πνεῦμα, τὸ ἐκ Πατρὸς ἐκπορευόμενον, καὶ ἐν Υἱῷ ἀναπαυόμενον. Τριὰς ἁγία, δόξα σοι.

*

## ΕΙΣΟΔΟΣ - ΕΠΙΛΥΧΝΙΟΣ ΕΥΧΑΡΙΣΤΙΑ

*Ψαλλομένου τοῦ Καὶ νῦν γίνεται ἡ εἴσοδος ὑπὸ τοῦ ἱερέως καὶ τοῦ διακόνου.*

**Εἴσοδος:** *Ο ιερεύς η ο Διάκονος υψώνει το θυμιατό και λέγει*

Ὁ διάκονος· **Σοφία· ὀρθοί.**

*Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης τὴν ἐπιλύχνιον εὐχαριστίαν χῦμα· Ἐὰν δὲ εἰσοδεύουν δύο ἢ περισσότεροι ἱερεῖς, ψάλλουν αὐτοὶ τὴν ἐπιλύχνιον εὐχαριστίαν.*

Φῶς ἱλαρὸν ἁγίας δόξης, * ἀθανάτου Πατρός, * οὐρανίου, ἁγίου, μάκαρος, * Ἰησοῦ Χριστέ, * ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, * ἰδόντες φῶς ἑσπερινόν, * ὑμνοῦμεν Πατέρα, Υἱόν, * καὶ ἅγιον Πνεῦμα, Θεόν. * Ἄξιόν σε ἐν πᾶσι καιροῖς * ὑμνεῖσθαι φωναῖς αἰσίαις, * Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς· * διὸ ὁ κόσμος σὲ δοξάζει.

*

Ὁ διάκονος· **Ἑσπέρας προκείμενον.**

Καὶ ψάλλεται τὸ προκείμενον τῆς ἡμέρας.

Τῷ **Σαββάτῳ** ἑσπέρας. Ἦχος πλ. β´. Ψαλμὸς ϟβ´ (92).

**Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.** (ϟβ´ 1)

Στίχ. α´. *Ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο.* (ϟβ´ 1)

Στίχ. β´. *Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.* (ϟβ´ 1)

*

## ΤΑ ΑΝΑΓΝΩΣΜΑΤΑ

Καὶ τὰ ἑφεξῆς ἀναγνώσματα τῆς ἑορτῆς.

**Ἀριθμῶν** τὸ Ἀνάγνωσμα (ια´ 16-29).

Εἶπε Κύριος πρὸς Μωσῆν· Συνάγαγέ μοι ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ, οὓς σὺ αὐτὸς οἶδας, ὅτι οὗτοί εἰσι πρεσβύτεροι τοῦ λαοῦ, καὶ γραμματεῖς αὐτῶν· καὶ ἄξεις αὐτοὺς εἰς τὴν Σκηνὴν τοῦ Μαρτυρίου, καὶ στήσονται ἐκεῖ μετὰ

σοῦ. Καὶ καταβήσομαι, καὶ λαλήσω ἐκεῖ μετὰ σοῦ, καὶ ἀφελῶ ἀπὸ τοῦ Πνεύματος τοῦ ἐπὶ σοί, καὶ ἐπιθήσω ἐπ᾿ αὐτούς, καὶ συναντιλήψομαι μετὰ σοῦ τὴν ὁρμὴν τοῦ λαοῦ, καὶ οὐκ οἴσεις αὐτοὺς σὺ μόνος. Καί συνήγαγε Μωσῆς ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ, καὶ ἔστησεν αὐτοὺς κύκλῳ τῆς Σκηνῆς. Καὶ κατέβη Κύριος ἐν νεφέλῃ, καὶ ἐλάλησε πρὸς Μωσῆν, καὶ παρείλετο ἀπὸ τοῦ Πνεύματος τοῦ ἐπ᾿ αὐτοῦ, καὶ ἐπέθηκεν ἐπὶ τούς ἑβδομήκοντα ἄνδρας τοὺς πρεσβυτέρους. Ὡς δὲ ἐπανεπαύσατο τὸ Πνεῦμα ἐπ᾿ αὐτούς, καὶ προεφήτευσαν ἐν τῇ παρεμβολῇ, καὶ οὐκέτι προσέθεντο. Καὶ κατελείφθησαν δύο ἄνδρες ἐν τῇ παρεμβολῇ· ὄνομα τῷ ἑνὶ Ἐλδάδ καὶ ὄνομα τῷ δευτέρῳ Μωδάδ· καὶ ἐπανεπαύσατο ἐπ᾿ αὐτοὺς τὸ Πνεῦμα· καὶ οὗτοι ἦσαν τῶν καταγεγραμμένων, καὶ οὐκ ἦλθον εἰς τὴν Σκηνήν· καὶ προεφήτευσαν ἐν τῇ παρεμβολῇ. Καὶ προσδραμὼν ὁ νεανίσκος, ἀπήγγειλε τῷ Μωσεῖ, καὶ εἶπεν αὐτῷ, λέγων· Ἐλδὰδ καὶ Μωδὰδ προφητεύουσιν ἐν τῇ παρεμβολῇ. Καὶ ἀποκριθεὶς Ἰησοῦς ὁ τοῦ Ναυῆ, ὁ παρεστηκὼς Μωσεῖ, ὁ ἐκλεκτὸς αὐτοῦ, εἶπε· Κύριε Μωσῆ, κώλυσον αὐτούς. Καὶ εἶπεν αὐτῷ Μωσῆς· Μὴ ζηλοῖς σύ μοι; καὶ τὶς δῴη πάντα τὸν λαὸν Κυρίου προφήτας, ὅταν δῷ Κύριος τὸ Πνεῦμα αὐτοῦ ἐπ᾿ αὐτούς;

## Προφητείας **Ἰωὴλ** τὸ Ἀνάγνωσμα (β΄ 23-27, γ΄ 1-5).

Τάδε λέγει Κύριος· Τὰ τέκνα Σιών, χαίρετε καὶ εὐφραίνεσθε ἐπὶ Κυρίῳ τῷ Θεῷ ὑμῶν, ὅτι ἔδωκεν ὑμῖν τὰ βρώματα εἰς δικαιοσύνην· καὶ βρέξει ὑμῖν ὑετὸν πρώϊμον καὶ ὄψιμον, καθὼς ἔμπροσθεν· καὶ πλησθήσονται αἱ ἅλωνες σίτου, καὶ ὑπερεκχυθήσονται αἱ ληνοὶ οἴνου καὶ ἐλαίου· καὶ ἀνταποδώσω ὑμῖν ἀντὶ τῶν ἐτῶν, ὧν κατέφαγεν ἡ ἀκρίς, καὶ ὁ βροῦχος, καὶ ἡ ἐρυσίβη, καὶ ἡ κάμπη, καὶ ἡ δύναμίς μου ἡ μεγάλη, ἣν ἐξαπέστειλα εἰς ὑμᾶς· καὶ φάγεσθε ἐσθίοντες, καὶ ἐμπλησθήσεσθε, καὶ αἰνέσετε τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ ὑμῶν, ὃς ἐποίησε μεθ᾿ ὑμῶν θαυμάσια, καὶ οὐ μὴ καταισχυνθῇ ὁ λαός μου εἰς τὸν αἰῶνα. Καὶ ἐπιγνώσεσθε, ὅτι ἐν μέσῳ τοῦ Ἰσραὴλ ἐγώ εἰμι, καὶ ἐγὼ Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν πλὴν ἐμοῦ· καὶ οὐ μὴ καταισχυνθῇ ἔτι ὁ λαός μου εἰς τὸν αἰῶνα. Καὶ ἔσται μετὰ ταῦτα, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοί ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ πρεσβύτεροι ὑμῶν, ἐνύπνια ἐνυπνιασθήσονται, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται. Καί γε ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου, ἐν ταῖς ἡμέραις ἐκείναις, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου, καὶ προφητεύσουσι· καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω, καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω, αἷμα καὶ πῦρ, καὶ ἀτμίδα καπνοῦ· ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἐλθεῖν τὴν ἡμέρα Κυρίου τὴν μεγάλην, καὶ ἐπιφανῆ· καὶ ἔσται, πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται.

## Προφητείας **Ἰεζεκιὴλ** τὸ Ἀνάγνωσμα (λϛ΄ 24-28).

Τάδε λέγει Κύριος· Λήψομαι ὑμᾶς ἐκ τῶν ἐθνῶν, καὶ ἀθροίσω ὑμᾶς ἐκ πασῶν τῶν γαιῶν, καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν ὑμῶν· καὶ ῥανῶ ἐφ᾿ ὑμᾶς ὕδωρ καθαρόν, καὶ καθαρισθήσεσθε ἀπὸ πασῶν τῶν ἀκαθαρσιῶν ὑμῶν, καὶ ἀπὸ πάντων τῶν εἰδώλων ὑμῶν, καὶ καθαριῶ ὑμᾶς· καὶ δώσω ὑμῖν καρδίαν καινήν, καὶ πνεῦμα καινὸν δώσω ὑμῖν· καὶ ἀφελῶ τὴν καρδίαν τὴν λιθίνην ἐκ τῆς σαρκὸς ὑμῶν, καὶ δώσω ὑμῖν καρδίαν σαρκίνην· καὶ τὸ πνεῦμά μου δώσω ἐν ὑμῖν, καὶ ποιήσω, ἵνα ἐν τοῖς δικαιώμασί μου πορεύησθε, καὶ τὰ κρίματά μου φυλάξησθε, καὶ ποιήσητε· καὶ κατοικήσετε ἐπὶ τῆς γῆς, ἧς ἔδωκα τοῖς πατράσιν ὑμῶν, καὶ ἔσεσθέ μοι εἰς λαόν, κἀγὼ ἔσομαι ὑμῖν εἰς Θεόν.

*

**ΑΙ ΔΕΗΣΕΙΣ** - *Εἶτα ἡ συνήθης Ἐκτενής, τό· «Καταξίωσον, Κύριε» Τὰ Πληρωτικά, ἡ κεφαλοκλισία κ.λπ.*

*Ὁ διάκονος ἐξελθὼν καὶ στὰς ἐν τῷ συνήθει τόπῳ λέγει τὴν ἐκτενῆ δέησιν, τοῦ χοροῦ ἐπιλέγοντος ἐν ἑκάστῃ δεήσει* ***τὸ*** **Κύριε, ἐλέησον** ***τρίς****, ἐν δὲ τῇ τελευταίᾳ ἅπαξ. Ὁ χορὸς εἰς ἑκάστην δέησιν τὸ* **Κύριε, ἐλέησον** *τρίς, εἰς δὲ τὴν τελευταίαν ἅπαξ.*

***Ε****ἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.*

Ὁ α΄ χορός· **Κύριε, ἐλέησον.** (ἅπαξ)

***Κ****ύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.*

Ὁ α΄ χορός· **Κύριε, ἐλέησον.** (ἅπαξ)

***Ἐ****λέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.*

Ὁ α΄ χορός· **Κύριε, ἐλέησον.** (γ΄)

***Ἔ****τι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (****Δεινός****).*

Ὁ α΄ χορός· **Κύριε, ἐλέησον.** (γ΄)

***Ἔ****τι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν Ἱερέων, Ἱερομονάχων, Διακόνων καὶ Μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.*

Ὁ α΄ χορός· **Κύριε, ἐλέησον.** (γ΄)

***Ἔ****τι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγιείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἱεροῦ Ναοῦ τούτου.*

Ὁ α΄ χορός· **Κύριε, ἐλέησον.** (γ΄)

***Ἔ****τι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τοῦ ἱεροῦ Ναοῦ τούτου (ἢ τῆς ἱερᾶς Μονῆς ταύτης) καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων.*

Ὁ α΄ χορός· **Κύριε, ἐλέησον.** (γ΄)

***Ἔ****τι δεόμεθα καὶ ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ Ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.*

Ὁ α΄χορός· **Κύριε, ἐλέησον.** **(ἅπαξ)**

Ὁ α΄ Ἱερέας λέγει τὴν· **ΕΥΧΗ ΤΗΣ ΕΚΤΕΝΟΥΣ ΙΚΕΣΙΑΣ**

*Κύριε, ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ᾿ ἡμᾶς καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος.*

**«Ἐκφώνως»·**

*Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ β΄ χορός· **Ἀμήν.**

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης·

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα· συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε· φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· **Ἀμήν.**

## ΠΛΗΡΩΤΙΚΑ

**Εἶτα ὁ διάκονος λέγει τὰ Πληρωτικά, ὁ δὲ χορὸς ἀποκρίνεται εἰς μὲν τὰς δύο πρώτας δεήσεις διὰ τοῦ Κύριε, ἐλέησον, εἰς τὰς ἑπομένας ἓξ διὰ τοῦ Παράσχου, Κύριε, εἰς δὲ τὴν τελευταίαν διὰ τοῦ Σοί, Κύριε.**

Ὁ διάκονος· ***Πληρώσωμεν*** *τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.*

Ὁ χορός· **Κύριε, ἐλέησον.**

Ὁ διάκονος· *Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.*

Ὁ χορός· **Κύριε, ἐλέησον.**

Ὁ διάκονος· *Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρά τοῦ Κυρίου, αἰτησώμεθα.*

Ὁ χορὸς εἰς ἑκάστην δέησιν· **Παράσχου, Κύριε.**

*Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.*

Ὁ χορός· **Παράσχου, Κύριε.**

*Συγγνώμην καὶ ἄφεσιν των ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.*

Ὁ χορός· **Παράσχου, Κύριε.**

*Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρά τοῦ Κυρίου αἰτησώμεθα.*

Ὁ χορός· **Παράσχου, Κύριε.**

*Τὸν ὑπόλοιπον χρόνον της ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.*

Ὁ χορός· **Παράσχου, Κύριε.**

*Χριστιανὰ τὰ τέλη της ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.*

Ὁ χορός· **Παράσχου, Κύριε.**

Ὁ διάκονος · *Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας,* (**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**) *μετὰ πάντων των Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.*

Ὁ χορός· **Σοί, Κύριε.**

Ὁ ἱερεύς· *Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· · **Ἀμήν.**

Ὁ ἱερεύς · *Εἰρήνη πᾶσι.*

Ὁ χορός· · **Καὶ τῷ πνεύματί σου.**

Ὁ διάκονος· *Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνομεν.*

Ὁ χορός· · **Σοί, Κύριε.**

Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς κεφαλοκλισίας

*Κύριε ο Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανούς, καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου· σοὶ γάρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ οἱ σοὶ δοῦλοι τὰς ἑαυτῶν ἔκλιναν κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας, οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν, οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν, καὶ τὴν ἐπιοῦσαν νύκτα, ἀπὸ παντός ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργείας διαβολικῆς, καὶ διαλογισμῶν ματαίων, καὶ ἐνθυμήσεων πονηρῶν.*

**«Ἐκφώνως»**· τὴν ἐκφώνησιν·

*Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν**.

*

## Η ΛΙΤΗ

### Εἰς τὴν Λιτήν, Ἰδιόμελα. Ἦχος β΄.

Ἐν τοῖς Προφήταις ἀνήγγειλας ἡμῖν ὁδὸν σωτηρίας, καὶ ἐν Ἀποστόλοις ἔλαμψε Σωτὴρ ἡμῶν, ἡ χάρις τοῦ Πνεύματός σου· σὺ εἶ Θεὸς πρῶτος, σὺ καὶ μετὰ ταῦτα· καὶ εἰς τοὺς αἰῶνας σὺ εἶ ὁ Θεὸς ἡμῶν.

Ἐν ταῖς αὐλαῖς σου ὑμνήσω σε τὸν Σωτῆρα τοῦ κόσμου, καὶ κλίνας γόνυ προσκυνήσω σου τὴν ἀήττητον δύναμιν, ἐν ἑσπέρᾳ, καὶ πρωΐ, καὶ μεσημβρίᾳ, καὶ ἐν παντὶ καιρῷ εὐλογήσω σε, Κύριε.

Ἐν ταῖς αὐλαῖς σου Κύριε, οἱ πιστοὶ τὸ γόνυ τῆς ψυχῆς καὶ τοῦ σώματος ὑποκλίναντες, ἀνυμνοῦμέν σε τὸν ἄναρχον Πατέρα, καὶ τὸν συνάναρχον Υἱόν, καὶ τὸ συναΐδιον καὶ πανάγιον Πνεῦμα, τὸ φωτίζον καὶ ἁγιάζον τὰς ψυχὰς ἡμῶν.

### **Δόξα. Καὶ νῦν.** Ἦχος πλ. δ΄.

Ὅτε τὸ Πνεῦμά σου κατέπεμψας Κύριε, καθημένοις τοῖς Ἀποστόλοις, τότε οἱ τῶν Ἑβραίων παῖδες θεωροῦντες, ἐξίσταντο θάμβει· ἤκουον γὰρ αὐτῶν φθεγγομένων, ἑτέραις ξέναις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐχορήγει αὐτοῖς· ἰδιῶται γὰρ ὄντες, ἐσοφίσθησαν· καὶ τὰ ἔθνη πρὸς πίστιν ζωγρήσαντες, τὰ θεῖα ἐρρητόρευον· διὸ καὶ ἡμεῖς βοῶμέν σοι· Ὁ ἐπὶ γῆς ὀφθείς, καὶ ἐκ τῆς πλάνης σώσας ἡμᾶς, Κύριε, δόξα σοι.

*

ψάλλονται τὰ ἀπόστιχα ἀρχομένου τοῦ β΄ χοροῦ·

## ΤΑ **ΑΠΟΣΤΙΧΑ** Εἰς τὸν Στίχον. Ἀπόστιχα Στιχηρά. Τὸ Ἀναστάσιμον. Ἦχος πλ. β΄.

*

Εἰς τὸν Στίχον, Στιχηρὰ Ἰδιόμελα. Ἦχος πλ. β΄.

**Ἀ**γνοοῦντα τὰ ἔθνη Κύριε, τὴν τοῦ παναγίου Πνεύματος, ἐν τοῖς Ἀποστόλοις σου γενομένην δύναμιν, τὴν ἐναλλαγὴν τῶν γλωσσῶν, μέθην εἶναι ἐνόμιζον· ἡμεῖς δὲ στηριχθέντες ὑπ᾽ αὐτῶν, ἀπαύστως οὕτω λέγομεν· Τὸ Πνεῦμά σου τὸ ἅγιον, μὴ ἀντανέλῃς ἀφ᾽ ἡμῶν, δεόμεθα Φιλάνθρωπε.

*Στίχ. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός, καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. (Ψαλμ. ν΄ 12)*

**Κ**ύριε, τοῦ ἁγίου Πνεύματος ἡ ἐπιφοίτησις, τοὺς Ἀποστόλους σου ἐμφορήσασα, ἐν ἑτέραις γλώσσαις λαλεῖν παρεσκεύασεν· ὅθεν τὸ παράδοξον, τοῖς μέν ἀπίστοις μέθη ἐνομίζετο, τοῖς δὲ πιστοῖς πρόξενον σωτηρίας· οὗ τῆς ἐλλάμψεως καὶ ἡμᾶς ἀξίωσον, δεόμεθα Φιλάνθρωπε.

*Στίχ. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ. (Ψαλμ. ν΄ 13)*

**Β**ασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρών, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγός, ἐλθέ, καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον Ἀγαθὲ τὰς ψυχὰς ἡμῶν.

**Δόξα. Καὶ νῦν.** Ἦχος πλ. δ΄.

**Γ**λῶσσαι ποτὲ συνεχύθησαν, διὰ τὴν τόλμαν τῆς πυργοποιΐας· γλῶσσαι δὲ νῦν ἐσοφίσθησαν, διὰ τὴν δόξαν τῆς Θεογνωσίας. Ἐκεῖ κατεδίκασε Θεὸς τοὺς ἀσεβεῖς τῷ πταίσματι· ἐνταῦθα ἐφώτισε Χριστὸς τοὺς ἁλιεῖς τῷ Πνεύματι. Τότε κατειργάσθη ἡ ἀφωνία, πρὸς τιμωρίαν· ἄρτι καινουργεῖται ἡ συμφωνία, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

*

## ΝΥΝ ΑΠΟΛΥΕΙΣ-ΤΡΙΣΑΓΙΟΝ-ΑΠΟΛΥΤΙΚΙΑ

*Μετὰ τὰ ἀπόστιχα λέγεται ὑπὸ τοῦ προεστῶτος ἢ τοῦ **ἱερέως** ἡ Ὠδὴ Συμεὼν τοῦ θεοδόχου. (Λουκ. β΄ 29-32)*

*

***Ν**ῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.*

Ὁ ἀναγνώστης τὸ τρισάγιον.

**Ἅ**γιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. **(τρίς)**

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

**Π**αναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

**Κ**ύριε, ἐλέησον **(τρίς).**

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

**Π**άτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

*Ὁ ἱερεύς· **Ὅ**τι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν.**

*

Καὶ ψάλλεται τὸ ἀπολυτίκιον τῆς ἑορτῆς.

Ἦχος πλ. δ΄.

**Ε**ὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι᾽ αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, Φιλάνθρωπε, δόξα σοι. **(ἐκ γ΄)**

*

## Η ΑΠΟΛΥΣΙΣ

*Μετὰ τὰ ἀπολυτίκια, **ἐὰν μὲν προηγήθη ἀρτοκλασία**·*

Ὁ διάκονος· **Τ**οῦ *Κυρίου δεηθῶμεν.*

Ὁ χορός· **Κύριε, ἐλέησον.**

Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν·

***Ε**ὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐφ᾽ ὑμᾶς τῇ αὐτοῦ θείᾳ χάριτι καὶ φιλανθρωπίᾳ πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν**.

Ὁ προεστὼς (ἢ ὁ ἀναγνώστης)·

**Σ**τερεώσαι Κύριος ὁ Θεὸς τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν σὺν τῇ ἁγίᾳ ἐκκλησίᾳ καὶ τῇ πόλει ταύτῃ εἰς αἰῶνας αἰώνων.

Ὁ χορός· **Ἀμήν**.

*Μετὰ τὰ ἀπολυτίκια, **ἐὰν δὲν προηγήθη ἀρτοκλασία***

ὁ διάκονος λέγει· *Σοφία.*

Ὁ ἀναγνώστης· **Εὐλόγησον.**

Ὁ ἱερεύς· **Ὁ** *ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν**.

Ὁ προεστὼς (ἢ ὁ ἀναγνώστης)·

**Σ**τερεώσαι Κύριος ὁ Θεὸς τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν σὺν τῇ ἁγίᾳ ἐκκλησίᾳ καὶ τῇ πόλει ταύτῃ εἰς αἰῶνας αἰώνων.

***Ἀκολούθως εἰς ἀμφοτέρας τὰς περιπτώσεις·***

Εἶτα ὁ ἱερεύς· **Ὑ***περαγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Ὁ ἀναγνώστης·

**Τ**ὴν τιμιωτέραν τῶν Χερουβὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Ὁ ἱερεύς· *Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.*

Ὁ ἀναγνώστης·

**Δ**όξα, καὶ νῦν. Κύριε, ἐλέησον γ΄. Πάτερ Ἅγιε Εὐλόγησον.

*Καὶ μετὰ τοῦτο ὁ ἱερεὺς τὴν ἀπόλυσιν διαλογικῶς·*

Ὁ *Ὁ ἐν εἴδει πυρίνων γλωσσῶν οὐρανόθεν καταπέμψας τὸ πανάγιον Πνεῦμα ἐπὶ τοὺς ἁγίους αὐτοῦ μαθητὰς καὶ ἀποστόλους* **Χ***ριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ μητρός· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων ἀποστόλων· τῶν ἁγίων, ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν·* (τοῦ ἁγίου τοῦ ναοῦ)· *τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου* (τῆς ἡμέρας), *καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.*

*Καὶ ὁ ἱερεὺς στραφεὶς πρὸς τὴν εἰκόνα τοῦ Χριστοῦ, καὶ ποιῶν τὸ σημεῖον τοῦ τιμίου Σταυροῦ μεθ᾽ ὑποκλίσεως, κατακλείει διὰ τοῦ·*

***Δ****ι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.*

Ὁ χορὸς καὶ σύμπας ὁ λαός· **Ἀμήν**.

*

*

*Μέλλων ὁ ἱερεὺς τὴν θείαν ἐπιτελεῖν Μυσταγωγίαν, ὀφείλει προηγουμένως μὲν κατηλλαγμένος εἶναι μετὰ πάντων καὶ μὴ ἔχειν τι κατά τινος· καὶ καρδίαν δέ, ὅση δύναμις, ἀπὸ πονηρῶν τηρῆσαι λογισμῶν, ἐγκρατεύεσθαί τε μικρὸν ἀφ' ἑσπέρας καὶ ἐγρηγορηκῶς διάγειν μέχρι τοῦ τῆς Ἱερουργίας καιροῦ. Τοῦ δὲ καιροῦ ἐπιστάντος ὁ ἱερεὺς καὶ ὁ διάκονος **ἐξέρχονται τοῦ ἱεροῦ Βήματος** καὶ ποιήσαντες μετάνοιαν πρὸ τοῦ ἀρχιερατικοῦ θρόνου, **ἔρχονται ἔμπροσθεν τῆς Ὡραίας Πύλης** καὶ προσκυνοῦσι τρὶς λέγοντες ἕκαστος καθ' ἑαυτόν:*

## Η ΠΡΟΕΤΟΙΜΑΣΙΑ ΤΩΝ ΚΛΗΡΙΚΩΝ «Ο ΚΑΙΡΟΣ»

Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.

*Εἶτα λέγει ὁ διάκονος:* Εὐλόγησον Δέσποτα.

*Ὁ ἱερεύς·:* Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ διάκονος·: Ἀμήν.

*Ὁ ἱερεύς·:* Δόξα σοι, Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

*Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος καὶ σῶσον, ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.*

Ὁ διάκονος· Ἀμήν.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. **(τρίς)**

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον **(τρίς).**

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

*Ὁ ἱερεύς·:* Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία...

Ὁ διάκονος·: Ἀμήν.

*Εἶτα λέγουσι τὰ τροπάρια ταῦτα μετὰ κατανύξεως.*

*Ὁ ἱερεύς·:* Ἐλέησον ἡμᾶς Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

Ὁ διάκονος· : **Δόξα Πατρί...**

Κύριε ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν· μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· σὺ γὰρ εἶ θεὸς ἡμῶν καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

*Ὁ ἱερεύς·:* **Καὶ νῦν...**

Τῆς εὐσπλαγχνίας τὴν πύλην, ἄνοιξον ἡμῖν, εὐλογημένη θεοτόκε· ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσωμεν· ρυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν χριστιανῶν.

**(Τούτου δὲ λεγομένου ἀνοίγεται ἡ Ὡραία Πύλη)**

Ὁ διάκονος·: Κύριε ἐλέησον. (ιβ΄) Δόξα, Καὶ νῦν.

*Καὶ ποιοῦσι σταυροὺς καὶ μετανοίας τρεῖς. Εὐθὺς δὲ ἀσπαζόμενοι τὴν εἰκόνα τοῦ Χριστοῦ, λέγουσι:*

Τὴν ἄχραντον εἰκόνα σου προσκυνοῦμεν ἀγαθέ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν, Χριστὲ ὁ Θεός· βουλήσει γὰρ ηὐδόκησας σαρκὶ ἀνελθεῖν ἐν τῷ σταυρῷ ἵνα ρύσῃ οὓς ἔπλασας ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ. Ὅθεν εὐχαρίστως βοῶμέν σοι· χαρᾶς ἐπλήρωσας τὰ πάντα, ὁ Σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ σῶσαι τὸν κόσμον.

*Καὶ τὴν εἰκόνα τῆς Θεοτόκου λέγοντες:*

Εὐσπλαγχνίας ὑπάρχουσα πηγὴ συμπαθείας ἀξίωσον ἡμᾶς Θεοτόκε· βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα, δεῖξον ὡς ἀεὶ τὴν δυναστείαν σου· εἰς σὲ γὰρ ἐλπίζοντες τὸ Χαῖρε βοῶμέν σοι, ὥς ποτε ὁ Γαβριήλ, ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.

*Τὴν δὲ τοῦ Προδρόμου εἰκόνα λέγοντες:*

Μνήμη δικαίου μετ' ἐγκωμίων· σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου, Πρόδρομε· ἀνεδείχθης γὰρ ὄντως καὶ Προφητῶν σεβασμιώτερος, ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον· Ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν Ἅδῃ, Θεὸν φανερωθέντα ἐν σαρκί, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

*Εἶτα ἀσπαζόμενοι τὴν εἰκόνα τοῦ ἁγίου τοῦ Ναοῦ λέγουσι τὸ Ἀπολυτίκιον αὐτοῦ. Μετὰ δὲ τὸν ἀσπασμὸν τῶν ἁγίων εἰκόνων ἔρχονται ἔμπροσθεν τῆς Ὡραίας Πύλης. Καὶ λέγει ὁ διάκονος:*

Τοῦ Κυρίου δεηθῶμεν, Κύριε ἐλέησον.

*Καὶ ὁ ἱερεὺς ὑποκλινόμενος ἀσκεπὴς λέγει τὴν εὐχήν:*

Κύριε, ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους κατοικητηρίου σου καὶ ἐνίσχυσόν με εἰς τὴν προκειμένην διακονίαν σου· ἵνα ἀκατακρίτως παραστὰς τῷ φοβερῷ σου βήματι, τὴν ἀναίμακτον ἱερουργίαν ἐπιτελέσω. Ὅτι σοῦ ἐστιν ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ διάκονος·: Ἀμήν.

*Καὶ ὁ ἱερεὺς ποιεῖ μικρὰν ἀπόλυσιν.*

Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ διάκονος· : Δόξα... Καὶ νῦν... Κύριε ἐλέησον (γ΄), Δέσποτα, ἅγιε, εὐλόγησον.

*Ὁ ἱερεύς·:* Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ Χρυσοστόμου, οὗ τὴν θείαν Λειτουργίαν ἐπιτελέσομεν, τοῦ ἁγίου... (τοῦ Ναοῦ), τοῦ ἁγίου... (τῆς ἡμέρας), οὗ τὴν μνήμην ἐπιτελοῦμεν καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὁ διάκονος·: Ἀμήν.

* * * * *

## Η ΕΝΔΥΜΑΣΙΑ

*Μετὰ τὴν ἀπόλυσιν, στραφέντες πρὸς δυσμὰς καὶ ὑποκλίναντες ἀμφότεροι τὴν κεφαλὴν πρὸς τὸν λαόν, εἰσέρχονται εἰς τὸ θυσιαστήριον λέγοντες ἕκαστος:*

Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου.

*Καὶ προσκυνήσαντες τρὶς πρὸ τῆς ἁγίας Τραπέζης, ἀσπάζονται τὸ ἅγιον Εὐαγγέλιον καὶ τὴν ἁγίαν Τράπεζαν. Εἶτα λαμβάνει ἕκαστος τὰ ἱερὰ αὐτοῦ ἄμφια καὶ προσκυνεῖ τρὶς κατὰ ἀνατολὰς λέγων τὸ*

Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

*Εἶτα ὁ διάκονος προσέρχεται τῷ ἱερεῖ κρατῶν τὸ στιχάριον, τὸ ὀράριον καὶ τὰ ἐπιμανίκια καὶ λέγει:*

Εὐλόγησον, Δέσποτα, τὸ στιχάριον σὺν τῷ ὀραρίῳ.

*Ὁ δὲ ἱερεὺς σφραγίζων αὐτὰ λέγει:*

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Καὶ ἀσπαζόμενος ὁ διάκονος τὴν δεξιὰν τοῦ ἱερέως, ὑποχωρεῖ εἰς τὸ διακονικὸν καὶ ἐνδύεται.*

*Ὁ δὲ ἱερεὺς λαβὼν τὸ στιχάριον, προσκυνήσας τρὶς κατὰ ἀνατολάς, εὐλογῶν αὐτὸ σταυροειδῶς, λέγει:*

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Καὶ ἐνδύεται αὐτὸ λέγων:*

Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ἐλέησον.

Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με· ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ, πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Εἶτα σφραγίσας περιτίθεται τὰ ἐπιμάνικα. Καὶ εἰς μὲν τὸ δεξιὸν λέγει:*

Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύϊ· ἡ δεξιά σου χείρ, Κύριε, ἔθραυσεν ἐχθρούς· καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους· πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Ἐν δὲ τῷ ἀριστερῷ λέγει:*

Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με· συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου· πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Εἶτα σφραγίσας καὶ περιτιθέμενος τὸ ἐπιτραχήλιον λέγει:*

Εὐλογητὸς ὁ Θεός, ὁ ἐκχέων τὴν χάριν αὐτοῦ ἐπὶ τοὺς ἱερεῖς αὐτοῦ· ὡς μῦρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τοῦ Ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ὤαν τοῦ ἐνδύματος αὐτοῦ· πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Εἶτα λαβὼν τὴν ζώνην καὶ εὐλογήσας αὐτὴν λέγει περιζωννύμενος:*

**Ε**ὐλογητὸς ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου· πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Εἶτα λαβὼν τὸ φελόνιον καὶ εὐλογήσας αὐτὸ ἐνδύεται λέγων:*

**Ο**ἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται· πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Ὁμοίως ἐνδύεται καὶ ὁ Διάκονος, ἐν μὲν τῷ στιχαρίῳ λέγων·*

**Ἀ**γαλλιάσεται ἡ ψυχή μου...

*Ἐν δὲ τοῖς ἐπιμανικίοις·*

**Ἡ** δεξιά σου, Κύριε...

**Αἱ** χεῖρές σου...

*Ἐν δὲ τῷ Ὀραρίῳ·*

**Ὃ**ς ἐὰν θέλῃ γενέσθαι μέγας ἐν ἡμῖν, ἔσται ὑμῶν διάκονος.

*Εἶτα ἀπελθόντες εἰς τὸ χωνευτήριον νίπτουσι τὰς χεῖρας λέγοντες ἕκαστος κατ' ἰδίαν τὸν ἑξῆς ψαλμόν:*

**Ν**ίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε, τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου. Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου. Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου, ὧν ἐν χερσὶν αἱ ἀνομίαι· ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων. Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην· λύτρωσαί με, Κύριε, καὶ ἐλέησόν με. Ὁ πούς μου ἔστη ἐν εὐθύτητι· ἐν ἐκκλησίαις εὐλογήσω σε, Κύριε.

* * * * *

## Η ΠΡΟΣΚΟΜΙΔΗ (Προσκομιδή ή Πρόθεση)

*Ακολουθία της Προσκομιδής*

*Νωρίς το πρωί, πριν αρχίσει ο όρθρος, ο Ιερέας τελεί την ακολουθία της Προσκομιδής κατά την οποία «προσκομίζονται» (ετοιμάζονται) τα τίμια δώρα, που πρόσφεραν οι πιστοί. Τα τίμια δώρα θα καθαγιαστούν αργότερα στη Θεία Λειτουργία για να γίνουν σώμα και αίμα Χριστού. Η ακολουθία τελείται στην αγία Πρόθεση ή Προσκομιδή, που είναι στην ουσία μια κόγχη, στα αριστερά του Ιερού Βήματος και μοιάζει με το σπήλαιο της γεννήσεως του Χριστού, όπου με την άκρα συγκατάβαση και ταπείνωσή του επιτελείται η σωτηρία των ανθρώπων. Γι' αυτό και η εικόνα ή τοιχογραφία της αγίας Πρόθεσης, φέρει τη μορφή του Ιησού στην άκρα ταπείνωση του θείου Πάθους.*

*Ο Ιερέας χρησιμοποιώντας τη λόγχη, αφαιρεί από το πρόσφορο, που συμβολίζει την Παναγία, τον Αμνό, την κεντρική μερίδα, και την τοποθετεί στο κέντρο του αγίου Δισκαρίου. Αυτή η πράξη, γίνεται σε ανάμνηση του λογχισμού της πλευράς του Χριστού όταν ήταν πάνω στο Σταυρό. Όπως εκείνη τη στιγμή έτρεξε αίμα και νερό, έτσι και τώρα ο Ιερέας τοποθετεί το κρασί με λίγο νερό στο άγιο Ποτήριο. Έπειτα βγάζει τις μερίδες της Κυρίας Θεοτόκου, των Αγγέλων, των Αγίων και των Χριστιανών, «ζώντων και τεθνεώτων», τις οποίες τοποθετεί μέσα στο ιερό Δισκάριο. Στο τέλος ο Ιερέας μνημονεύει από τα «δίπτυχα» τους ζώντες και τεθνεώτες τρίβοντας ταυτόχρονα μια μερίδα από το πρόσφορο. Τα ψίχουλα που πέφτουν στο Άγιο Δισκάριο από το πρόσφορο είναι οι ψυχές των μνημονευομένων.*

*Εἶτα ὁ διάκονος ἀπελθὼν ἐν τῇ ἱερᾷ Προθέσει εὐτρεπίζει τὰ ἱερὰ σκεύη. Καὶ θέτει τὸν μὲν ἅγιον Δίσκον ἐν τῷ ἀριστερῷ μέρει, τὸ δὲ ἅγιον Ποτήριον ἐν τῷ δεξιῷ. Καὶ τὰ ἄλλα σὺν αὐτοῖς. Εἶτα ποιοῦσιν ἀμφότεροι προσκυνήματα τρία ἔμπροσθεν τῆς ἁγίας Προθέσεως λέγοντες καθ' ἑαυτούς:*

**Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με** (*ἐκ τρίτου).*

*Ὁ ἱερεύς·:* **Ἑ**τοιμάζου Βηθλεέμ· ἤνοικται πᾶσιν ἡ Ἐδέμ. Εὐτρεπίζου Ἐφραθᾶ, ὅτι τὸ ξύλον τῆς ζωῆς, ἐν τῷ σπηλαίῳ ἐξήνθησεν ἐκ τῆς Παρθένου. Παράδεισος καὶ γὰρ ἡ ἐκείνης γαστήρ, ἐδείχθη νοητός, ἐν ᾧ τὸ θεῖον φυτόν· ἐξ οὗ φαγόντες ζήσομεν, οὐχὶ δὲ ὡς ὁ Ἀδὰμ τεθνηξόμεθα. Χριστὸς γεννᾶται, τὴν πρὶν πεσοῦσαν ἀναστήσων εἰκόνα.

*Καὶ λαβὼν ὁ ἱερεὺς τὴν προσφορὰν καὶ τὴν ἁγίαν λόγχην ὑψώνει αὐτὴν μέχρι τοῦ μετώπου του. Μετὰ πολλοῦ δὲ φόβου καὶ κατανύξεως ἄρας τὸ ὄμμα εἰς τὸν οὐρανὸν λέγει:*

**Ἐ**ξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου, τῷ τιμίῳ σου αἵματι· τῷ Σταυρῷ προσηλωθεὶς καὶ τῇ λόγχῃ κεντηθείς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις· Σωτὴρ ἡμῶν δόξα σοι.

Ὁ διάκονος·: **Ε**ὐλόγησον, Δέσποτα.

*Ὁ ἱερεύς·:* **Ε**ὐλογητὸς ὁ Θεὸς ἡμῶν· πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Εἶτα ὁ ἱερεὺς λαβὼν τὴν προσφορὰν καὶ σφραγίζων μετὰ τῆς ἁγίας λόγχης τρίς, λέγει:*

**Ε**ἰς ἀνάμνησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ·

*καὶ ὁ διάκονος συμπληρώνει:*

**Π**άντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Καὶ τοῦτο εἰπὼν πήγνυσι τὴν ἁγίαν λόγχην ἐν τῷ δεξιῷ μέρει τῆς σφραγῖδος καὶ ἀνατέμνων λέγει:*

**Ὡ**ς πρόβατον ἐπὶ σφαγὴν ἤχθη.

*Ἐν δὲ τῷ ἀριστερῷ:*

**Κ**αὶ ὡς ἀμνὸς ἄμωμος ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.

*Ἐν δὲ τῷ ἄνω μέρει τῆς σφραγῖδος λέγει:*

**Ἐ**ν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη.

*Ἐν δὲ τῷ κάτω μέρει:*

**Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται;**

*Ὁ δὲ διάκονος ἐν ἑκάστῃ ἀνατομῇ λέγει:*

**Τ**οῦ Κυρίου δεηθῶμεν. Κύριε, ἐλέησον.

*Μετὰ ταῦτα ὁ διάκονος:*

**Ἔ**παρον δέσποτα.

*Καὶ ὁ ἱερεὺς αἴρει τὸν Ἀμνὸν λέγων.*

**Ὅ**τι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ.

*Καὶ τίθησιν ὁ ἱερεὺς τὸν Ἀμνὸν ὕπτιον ἐν τῷ ἁγίῳ δίσκῳ. Καὶ τοῦ διακόνου εἰπόντος:*

**Θ**ῦσον δέσποτα

*θύει, ἤτοι κόπτει αὐτὸν καθέτως, λέγων:*

**Θ**ύεται ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας.

*Πάλιν ὁ διάκονος:*

**Σ**ταύρωσον δέσποτα.

*Καὶ ὁ ἱερεὺς θύει πάλιν τὸν Ἀμνὸν ὁριζοντίως, ὥστε ἡ τομὴ νὰ σχηματίσῃ σταυρόν, λέγων:*

**Σ**ταυρωθέντος σου Χριστέ, ἀνῃρέθη ἡ τυρρανίς, ἐπατήθη ἡ δύναμις τοῦ ἐχθροῦ· οὔτε γὰρ ἄγγελος, οὐκ ἄνθρωπος, ἀλλ' αὐτὸς ὁ Κύριος, ἔσωσας ἡμᾶς· δόξα σοι.

*Καὶ τοῦ διακόνου εἰπόντος:*

**Ν**ῦξον Δέσποτα

*νύττει ὁ ἱερεὺς τὸν Ἀμνὸν διὰ τῆς λόγχης ἐν τῷ δεξιῷ μέρει, ἐπιλέγων:*

**Ε**ἷς τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξε· καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ. Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε καὶ ἀληθινὴ ἐστιν ἡ μαρτυρία αὐτοῦ.

*Ὁ δὲ διάκονος ἐγχέων τῷ ἁγίῳ ποτηρίῳ ἐκ τοῦ νάματος ὁμοῦ καὶ τοῦ ὕδατος τὸ ἀρκοῦν, λέγει:*

**Ε**ὐλόγησον δέσποτα τὴν ἁγίαν ἕνωσιν.

*Καὶ ὁ ἱερεὺς εὐλογῶν λέγει:*

**Ε**ὐλογημένη ἡ ἕνωσις τῶν ἁγίων σου, πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Ὁ ἱερεὺς λαβὼν ἐν ταῖς χερσὶ τὴν αὐτὴν ἢ δευτέραν προσφορὰν χαράττει ἐν αὐτῇ μικρὰν τρίγωνον σφραγῖδα, διὰ τῆς λόγχης, εἰς τιμὴν τῆς Θεοτόκου, λέγων:*

**Ε**ἰς τιμὴν καὶ μνήμην τῆς ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἧς ταῖς πρεσβείαις πρόσδεξαι Κύριε τὴν θυσίαν ταύτην εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον.

*Αἴρων δὲ τὴν μερίδα ταύτην διὰ τῆς λόγχης τίθησιν αὐτὴν ἐν τῷ δεξιῷ μέρει τοῦ Ἀμνοῦ, λέγων:*

**Π**αρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη.

*Εἶτα λαβὼν ἐκ τῆς ἰδίας ἢ τρίτης προσφορᾶς σφραγῖδα καὶ αἴρων ἐξ αὐτῆς μερίδα, τίθησιν ἐν τῷ ἀριστερῷ μέρει τοῦ Ἀμνοῦ, λέγων:*

**Ε**ἰς τιμὴν καὶ μνήμην τῶν παμμεγίστων ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριὴλ καὶ πασῶν τῶν ἐπουρανίων Δυνάμεων ἀσωμάτων.




*Εἶτα αἴρων τὰς ἀναλόγους μερίδας λέγει:*

**Τ**οῦ τιμίου ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων προφητῶν Μωϋσέως καὶ Ἀαρών, Ἠλιοῦ, Ἐλισσαίου, Δαβὶδ καὶ Ἰεσσαί· τῶν ἁγίων τριῶν Παίδων, Δανιὴλ τοῦ Προφήτου καὶ πάντων τῶν ἁγίων Προφητῶν.

**Τ**ῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων Πέτρου καὶ Παύλου, τῶν Δώδεκα καὶ τῶν Ἑβδομήκοντα καὶ πάντων τῶν ἁγίων Ἀποστόλων.

**Τ**ῶν ἐν ἁγίοις πατέρων ἡμῶν, μεγάλων Ἱεραρχῶν καὶ οἰκουμενικῶν Διδασκάλων Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος πατριαρχῶν Ἀλεξανδρείας, Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, Νεκταρίου Πενταπόλεως καὶ πάντων τῶν ἁγίων Ἱεραρχῶν.

**Τ**οῦ ἁγίου ἐνδόξου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου, τῶν ἁγίων ἐνδόξων μεγάλων μαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλήτου, Θεοδώρου Τήρωνος καὶ Θεοδώρου τοῦ

Στρατηλάτου· τῶν ἁγίων ἱερομαρτύρων Πολυκάρπου, Χαραλάμπους καὶ Ἐλευθερίου· τῶν ἁγίων μαρτύρων γυναικῶν Θέκλης, Βαρβάρας, Αἰκατερίνης, τῆς πανευφήμου Εὐφημίας καὶ πάντων καὶ πασῶν τῶν ἁγίων Μαρτύρων.

Τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν Ἀντωνίου τοῦ Μεγάλου, Εὐθυμίου, Σάββα τοῦ ἡγιασμένου, Ὀνουφρίου, Ἀθανασίου τοῦ ἐν Ἄθῳ, τῆς ὁσίας μητρὸς ἡμῶν Μαρίας τῆς Αἰγυπτίας καὶ πάντων καὶ πασῶν τῶν Ὁσίων.

Τῶν ἁγίων ἐνδόξων καὶ θαυματουργῶν Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου καὶ πάντων τῶν ἁγίων Ἀναργύρων.

Τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ἁγίου (τῆς ἡμέρας), τοῦ ἁγίου (τοῦ Ναοῦ, *ἐφ' ὅσον δὲν ἐμνημονεύθη*) καὶ πάντων τῶν ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεός.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου.

*Εἶτα ἐξάγων μερίδας λέγει:*

Μνήσθητι Δέσποτα φιλάνθρωπε, πάσης ἐπισκοπῆς ὀρθοδόξων, τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας καὶ παντὸς ἱερατικοῦ τάγματος, τῶν ἀδελφῶν καὶ συλλειτουργῶν ἡμῶν καὶ πάντων τῶν ἀδελφῶν ἡμῶν, οὓς προσεκαλέσω εἰς τὴν σὴν κοινωνίαν διὰ τῆς σῆς εὐσπλαγχνίας Πανάγαθε Δέσποτα.

*Καὶ αἴρων μερίδα τίθησιν αὐτὴν ὑποκάτω τοῦ ἁγίου Ἄρτου. Καὶ μνημονεύει τοῦ χειροτονήσαντος αὐτὸν Ἀρχιερέως, εἴ περ ἐστιν ἐν τοῖς ζῶσιν, καὶ ἑτέρων ὧν ἔχει ζώντων κατ' ὄνομα· καὶ οὕτως αἴρων τίθησι τὰς μερίδας ὑποκάτω. Λαβὼν δὲ ἑτέραν σφραγῖδα λέγει:*

Ὑπὲρ μνήμης καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν μακαρίων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας (*ἢ τῆς ἁγίας Μονῆς*) ταύτης.

*Εἶτα μνημονεύει καὶ ἑτέρων ὧν ἔχει κεκοιμημένων κατ' ὄνομα καὶ τοῦ χειροτονήσαντος αὐτὸν Ἀρχιερέως, εἰ οὐκ ἔστιν ἐν τοῖς ζῶσιν. Τελευταῖον δὲ ἐπιλέγει:*

Καὶ πάντων τῶν ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου τῶν τῇ σῇ κοινωνίᾳ κεκοιμημένων ὀρθοδόξων πατέρων καὶ ἀδελφῶν ἡμῶν, φιλάνθρωπε Κύριε.

*Καὶ αἴρων τίθησι τὰς μερίδας τῶν ὧν περ μνημονεύει. Ὡσαύτως δὲ καὶ ὁ διάκονος μνημονεύει ὧν θέλει ζώντων καὶ τεθνεώτων τοῦ ἱερέως αἴροντος καὶ ὑπὲρ αὐτῶν μερίδας. Τελευταῖον δὲ λέγει ὁ ἱερεύς:*

Μνήσθητι Κύριε καὶ τῆς ἐμῆς ἀναξιότητος καὶ συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

*Καὶ λαβὼν τὴν μοῦσαν συστέλλει τὰς μερίδας τὰς ἐν τῷ ἁγίῳ Δισκαρίῳ, ὥστε εἶναι ἐν ἀσφαλείᾳ καὶ μὴ ἐκπεσεῖν τι. Εἶτα ὁ διάκονος λαβὼν τὸ θυμιατήριον λέγει τῷ ἱερεῖ:*

Εὐλόγησον δέσποτα τὸ θυμίαμα.

*Καὶ ὁ ἱερεὺς εὐλογεῖ αὐτὸ λέγων:*

Θυμίαμά σοι προσφέρομεν, Χριστὲ ὁ Θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ὃ προσδεξάμενος εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος.

Ὁ διάκονος·: Τοῦ Κυρίου δεηθῶμεν. **Στερέωσον**, Δέσποτα.

*Ὁ ἱερεὺς λαμβάνει τὸν ἀστερίσκον καὶ θέτει αὐτὸν ἐπάνω τοῦ Ἀμνοῦ λέγων:*

Ἐλθὼν ὁ ἀστὴρ ἔστη ἐπάνω, οὗ ἦν τὸ παιδίον κείμενον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ.

Ὁ διάκονος·:Τοῦ Κυρίου δεηθῶμεν.**Εὐπρέπισον**, Δέσποτα.

*Ὁ ἱερεὺς θυμιῶν τὸ πρῶτον κάλυμμα, καλύπτει δι' αὐτοῦ τὸν Ἀμνὸν σὺν τῷ Δισκαρίῳ, λέγων:*

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο ὁ Κύριος δύναμιν καὶ περιεζώσατο. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Ὁ διάκονος·: Τοῦ Κυρίου δεηθῶμεν. **Κάλυψον**, Δέσποτα.

*Καὶ ὁ ἱερεὺς θυμιῶν τὸ δεύτερον κάλυμμα, καλύπτει δι' αὐτοῦ τὸ ἅγιον Ποτήριον, λέγων:*

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου, Χριστέ, καὶ τῆς αἰνέσεώς σου πλήρης ἡ γῆ.

Ὁ διάκονος·: Τοῦ Κυρίου δεηθῶμεν. **Σκέπασον**, Δέσποτα.

*Ὁ ἱερεὺς θυμιῶν τὸ τρίτον κάλυμμα καὶ σκεπάζων δι' αὐτοῦ τό τε ἅγιον Δισκάριον καὶ τὸ ἅγιον Ποτήριον, λέγει:*

Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· ἀποδίωξον ἀφ' ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον· εἰρήνευσον ἡμῶν τὴν ζωήν· Κύριε, ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

Ὁ διάκονος· Εὐλόγησον, Δέσποτα.

*Καὶ ὁ ἱερεὺς λαβὼν τὸ θυμιατήριον, θυμιᾷ τὴν Πρόθεσιν λέγων ἐκ τρίτου τό:*

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας· δόξα σοι.

*Ὁ δὲ διάκονος ἐν ἑκάστῃ ἐπιλέγει:*

Πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Λαβὼν δὲ ὁ διάκονος τὸ θυμιατήριον λέγει:*

Ἐπὶ τῇ ἁγίᾳ καὶ ἱερᾷ Προθέσει τῶν τιμίων Δώρων. Τοῦ Κυρίου δεηθῶμεν.

*Καὶ ὁ ἱερεὺς λέγει **μετὰ συντριβῆς καρδίας** τὴν εὐχήν:*

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον, τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστὸν ἐξαποστείλας, σωτῆρα καὶ λυτρωτὴν καὶ εὐεργέτην, εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς· Αὐτὸς εὐλόγησον τὴν Πρόθεσιν ταύτην καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον. Μνημόνευσον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, τῶν προσενεγκόντων καὶ δι' οὓς προσήγαγον· καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων. Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Εἶτα ποιεῖ τὴν ἀπόλυσιν ἐν τῇ Προθέσει καὶ μετ' αὐτὴν θυμιᾷ τὴν ἁγίαν Πρόθεσιν, τὴν ἁγίαν Τράπεζαν, σταυροειδῶς καὶ τὸ Ἱερατεῖον καὶ τὸν λαόν, λέγων καθ' ἑαυτὸν τὰ τροπάρια:*

Ἐν τάφῳ σωματικῶς, ἐν Ἅδου δὲ μετὰ ψυχῆς ὡς Θεός, ἐν Παραδείσῳ δὲ μετὰ λῃστοῦ καὶ ἐν θρόνῳ ὑπῆρχες Χριστέ, μετὰ Πατρὸς καὶ Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος.

**Δόξα Πατρί...**

Ὡς ζωηφόρος, ὡς Παραδείσου ὡραιότερος ὄντως καὶ παστάδος πάσης βασιλικῆς ἀναδέδεικται λαμπρότερος, Χριστέ, ὁ τάφος σου, ἡ πηγὴ τῆς ἡμῶν ἀναστάσεως.

**Καὶ νῦν...**

Τὸ τοῦ Ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρά, Θεοτόκε, τοῖς κραυγάζουσιν· Εὐλογημένη σὺ ἐν γυναιξὶ ὑπάρχεις πανάμωμε Δέσποινα.

*Καὶ ἀποθέτει τὸ θυμιατόν. Καὶ ὅταν εἶναι καιρὸς γιὰ τὴν Θείαν Λειτουργίαν ὁ Ἱερεύς: καὶ ὁ Διάκονος ἱστάμενοι πρὸ τῆς ἁγίας Τραπέζης καὶ λέγει ὁ Ἱερεύς:*

Βασιλεῦ Οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς Ἀληθείας, ὁ Πανταχοῦ Παρὼν καὶ τὰ Πάντα Πληρῶν, ὁ Θησαυρὸς τῶν Ἀγαθῶν καὶ Ζωῆς Χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος καὶ σῶσον, Ἀγαθὲ τὰς ψυχὰς ἡμῶν.

*Ὁ δὲ ἱερεὺς προσκυνήσας τρὶς λέγει ταπεινῇ τῇ φωνῇ:*

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία (γ΄).

*Εἶτα:*

Κύριε τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου (β΄).

Κύριε, Κύριε, ἄνοιξον ἡμῖν τὴν θύραν τοῦ ἐλέους σου.

*Ὁ διάκονος, τὴν κεφαλὴν ὑποκλίνας τῷ ἱερεῖ, λέγει:*

Ὁ διάκονος·: Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ· εὐλόγησον, Δέσποτα ἅγιε.

*Ὁ ἱερεὺς ἐπιθεὶς τὴν δεξιὰν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, λέγει:*

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ διάκονος·: Ἀμήν. Εὖξαι ὑπὲρ ἐμοῦ, Δέσποτα ἅγιε.

*Ὁ ἱερεύς·* Κατευθῦναι Κύριος τὰ διαβήματά σου εἰς πᾶν ἔργον ἀγαθόν.

Ὁ διάκονος·: Μνήσθητί μου, Δέσποτα ἅγιε.

*Ὁ ἱερεὐς·:* Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ διάκονος·: Ἀμήν.

***Καὶ οὕτως ἄρχονται του ὄρθρου καὶ τῆς θείας Λειτουργίας.***

* * *

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Από Βιβλίο «Αναγνώστη» - Σιμωνόπετρας σελίδα 51*

*

ὁ ἱερεὺς, **ἵσταται ἐνώπιον τῆς Ἁγίας Τραπέζης,** λέγει ἐκφώνως·

*

*Ὁ ἱερεύς· **Ε**ὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ ἀναγνώστης· **Ἀμήν.**

*Ὁ ἱερεύς· **Δ**όξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.*

***Β**ασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος καὶ σῶσον, ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.*

Ὁ ἀναγνώστης· **Ἀμήν.**

*

**Ἅ**γιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. **(τρίς)**

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

**Π**αναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

*Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.*

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Π**άτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

*

*Ὁ ἱερεύς· **Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις** καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

*

*Εδώ αρχίζει ο Όρθρος όλες τις μέρες του έτους, εκτός της Μεγάλης Εβδομάδας κατά την οποία παρεμβάλλεται και ολόκληρη η Βασιλική Ακολουθία (Ψαλμοί 19, 20).*

*

Ὁ ἀναγνώστης· **Ἀμήν.**

Καὶ τὰ τροπάρια·

**Σ**ῶσον, Κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι, κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

***Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι***

**Ὁ** ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός· εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων. Τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης ἀήττητον τρόπαιον.

***Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.***

Θεοτοκίον.

**Π**ροστασία φοβερὰ καὶ ἀκαταίσχυντε, μὴ παρίδῃς ἀγαθή, τὰς ἱκεσίας ἡμῶν, πανύμνητε Θεοτόκε· στήριξον ὀρθοδόξων πολιτείαν, σῷζε οὓς ἐκέλευσας βασιλεύειν, καὶ χορήγει αὐτοῖς οὐρανόθεν τὴν νίκην· διότι ἔτεκες τὸν Θεόν, μόνη εὐλογημένη.

*Ὁ ἱερεύς· **Ἐλέησον ἡμᾶς, ὁ Θεός**, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.*

Ὁ ἀναγνώστης· **Κύριε, ἐλέησον γ΄.**

*Ὁ ἱερεύς· **Ἔ**τι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.*

Ὁ ἀναγνώστης· **Κύριε, ἐλέησον γ΄.**

*Ὁ ἱερεύς· **Ἔ**τι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (**δεινός**).*

Ὁ ἀναγνώστης· **Κύριε, ἐλέησον γ΄.**

*Ὁ ἱερεὺς ἐκφώνως· **Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος** Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ ἀναγνώστης· **Ἀμήν.**

*

## Ο ΕΞΑΨΑΛΜΟΣ - ΑΙ ΕΥΧΑΙ

Ὁ ἀναγνώστης· **Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.**

*Καὶ εὐθὺς ἐκφωνεῖ ὁ ἱερεύς·*

*__Δ__όξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ ἀναγνώστης· **Ἀμήν.**

*Καὶ ἀναγινώσκει ὁ προεστὼς (ἢ ὁ ἀναγνώστης)*

**τὸν Ἑξάψαλμον.**

*

*Εδώ αρχίζει ο ΕΞΑΨΑΛΜΟΣ. Διαβάζουμε εν πάση σιωπή και κατάνυξη με ευλάβεια και φόβο Θεού, γιατί **συμβολίζει την ώρα της Δευτερας Παρουσίας** και της κρίσεως των ανθρώπων. Είναι συγχρόνως ύμνος, δέηση, προφητεία. **Ο εξάψαλμος συμβολίζει, αναφέρεται και παραπέμπει στην Δευτέρα Παρουσία του Κυρίου….** Ο χρόνος, ο οποίος μεσολαβεί με την ανάγνωση των έξι (6) ψαλμών, συμβολίζει το χρόνο της Δευτέρας Παρουσίας του Κυρίου, όπου θα έρθει ως Κριτής και μόνο και εμείς, με δέος και τρόμο, θα αναμένουμε – ο καθένας ατομικά – την τελική του κρίση. Είναι η πορεία των πιστών από το απόλυτο πνευματικό σκοτάδι προς την μοναδική σωτηρία, προς το Θείο φως της Αλήθειας. Η συγκεκριμένη πορεία αποπνέει μια χαρούμενη λυτρωτική ατμόσφαιρα. Αυτό, άλλωστε, γινόταν άμεσα αντιληπτό την εποχή όπου ψαλλόταν και δεν απαγγελλόταν ο εξάψαλμος, όπως, αντίθετα, γίνεται σήμερα, όπου το τέλος της ψαλμωδίας του συνέπιπτε με την ανατολή του ηλίου, με το ξημέρωμα μιας νέας ημέρας!!!*

*Οι πιστοί στην ομορφιά της ανατολής αντικρίζουν το σωτήριο φως μετά την πορεία μέσα στο σκοτάδι και οι ψυχές τους ευφραίνονται στην ένδοξη άφιξη του Κυρίου... Το περιεχόμενο του εξάψαλμου, συνθέτουν οι ψαλμοί 3ος, 37ος, 62ος,87ος, 102ος και 142ος.*
*3ος: Εἰκονίζει τήν σταθερή ἐλπίδα τῆς ψυχῆς στό Θεό.*
*37ος: Θρῆνος τῆς ψυχῆς γιά τό βάρος τῶν ἁμαρτιῶν.*
*62ος: Ἀπαλή παρηγορητική πρωϊνή προσευχή.*
*87ος: Δέηση ψυχῆς τσακισμένης ἀπό τίς συμφορές.*
*102ος: Προσευχή εὐγνωμοσύνης γιά τίς εὐεργεσίες τοῦ Θεοῦ.*
*142ος: Θερμή παράκληση βοήθειας.*
*Μετά την ανάγνωση των τριών (3) πρώτων ψαλμών, παρόλο που ακούγεται το «Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι», το «νυν και αεί και εις τους αιώνας των αιώνων» και τρεις φορές το «Αλληλούϊα», το εκκλησιαστικό τυπικό είναι αυστηρό,* ***και οι πιστοί δεν πρέπει να κάνουν το σταυρό τους…***
*Η Συντέλεια του κόσμου θα διαρκέσει όσο κρατάει ο Εξάψαλμος, λίγα λεπτά. Την ώρα που θα κρινόμαστε, στον Ουρανό θα ψέλνουν τον Εξάψαλμο, οι Άγγελοι... Όλοι οι άνθρωποι, που θα ζουν εκείνη τη στιγμή, θα βιώσουν τον θάνατο ακαριαία και αμέσως μετά θα αναστηθούν.*
*Ο Κύριος θα κρατά το Βιβλίο της Ζωής, το Ευαγγέλιο, και αυτομάτως θα πηγαίνουμε δεξιά ή αριστερά από μόνοι μας, γιατί θα ξέρουμε αν είμαστε για τον Παράδεισο ή όχι. Γι' αυτό και στο Δεσποτικό, που κάθεται ο Δεσπότης, στην εικόνα του Χριστού* ***είναι ανοιχτό το βιβλίο*** *και δεν υπάρχει καντήλι επάνω - δηλώνει ότι* ***δεν υπάρχει Έλεος****, στη Δευτέρα Παρουσία.* ***Ενώ στο Τέμπλο, είναι κλειστό το βιβλίο, που κρατάει ο Χριστός και υπάρχει καντήλι, διότι ακόμη έχουμε Έλεος.***

*

**Από Βιβλίο «Αναγνώστη» - Σιμωνόπετρας σελίδα 53 – 62**

*

*Ὁ δὲ ἱερεὺς ἀναγινώσκει μυστικῶς τὰς εὐχὰς τοῦ Ὄρθρου ἐνώπιον τῆς ἁγίας Τραπέζης·* ***μετὰ δὲ τὴν πρώτην τριάδα*** *τῶν Ψαλμῶν ἐξελθὼν συνεχίζει τὴν ἀνάγνωσιν ἐνώπιον τῆς εἰκόνος τοῦ Κυρίου.*

*

**Ὁ ἀναγνώστης·**

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. **(τρίς)**
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. **(δίς)**

Ψαλμὸς γ΄ (3). **6ος**

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; Πολλοὶ ἐπανίστανται ἐπ᾿ ἐμέ.
Πολλοὶ λέγουσι τῇ ψυχῇ μου· Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ.

Σὺ δέ, Κύριε, ἀντιλήπτωρ μου εἶ· δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ.

Ἐγὼ δὲ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι.

Ἀνάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου.

Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας.

Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

*Καὶ πάλιν.*

Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

Ψαλμὸς λζ΄ (37). **5ος**

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.
Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ᾿ ἐμὲ τὴν χεῖρά σου.
Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου· οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.
Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ᾿ ἐμέ.
Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.
Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.
Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου.
Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα· ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.
Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη.
Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ᾿ ἐμοῦ.
Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν, καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν.
Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου, καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.
Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ.
Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.
Ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα, σὺ εἰσακούσῃ, Κύριε, ὁ Θεός μου.
Ὅτι εἶπον· Μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου, καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ᾿ ἐμὲ ἐμεγαλοῤῥημόνησαν.
Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μού ἐστι διαπαντός.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.
Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως.
Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην.
Μὴ ἐγκαταλίπῃς με, Κύριε, ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ᾿ ἐμοῦ.
Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε, τῆς σωτηρίας μου.

*Καὶ πάλιν.*

Μὴ ἐγκαταλίπῃς με, Κύριε, ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ᾿ ἐμοῦ.
Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

Ψαλμὸς ξβ΄ (62). **4ος**

Ὁ Θεός, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω.
Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ.
Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.
Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς· τὰ χείλη μου ἐπαινέσουσί σε.
Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, καὶ ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.
Ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.
Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ.
Ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δέ ἀντελάβετο ἡ δεξιά σου.
Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου· εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς· παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται.
Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

Καὶ πάλιν.

Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ, ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου· ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

Καὶ τὰ ἑξῆς ἄνευ μετανοιῶν·

**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**
**Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι ὁ Θεός (τρίς).**
Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Ὁ δὲ ἱερεὺς ἀναγινώσκει μυστικῶς τὰς εὐχὰς τοῦ Ὄρθρου ἐνώπιον τῆς ἁγίας Τραπέζης· **μετὰ δὲ τὴν πρώτην τριάδα** τῶν Ψαλμῶν ἐξελθὼν συνεχίζει τὴν ἀνάγνωσιν ἐνώπιον τῆς εἰκόνος τοῦ Κυρίου. Καὶ μετὰ τὴν ἀνάγνωσιν τῶν εὐχῶν ὁ ἱερεὺς ἀσπασάμενος τὴν δεσποτικὴν εἰκόνα εἰσέρχεται διὰ τῆς νοτίου πύλης εἰς τὸ Ἱερόν.*

Ψαλμὸς πζ΄ (87). **3ος**

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.
Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.
Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ Ἅδῃ ἤγγισε.
Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον, ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος.
Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν.
Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.
Ἐπ᾿ ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ᾿ ἐμέ.
Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ᾿ ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς.
Παρεδόθην καὶ οὐκ ἐξεπορευόμην· οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας.
Ἐκέκραξα πρὸς σέ, Κύριε, ὅλην τὴν ἡμέραν, διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.
Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι, καὶ ἐξομολογήσονταί σοι;
Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ;
Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;
Κἀγὼ πρὸς σέ, Κύριε, ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε.
Ἵνα τί, Κύριε, ἀπωθῇ τὴν ψυχήν μου; ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ;

Πτωχός εἰμι ἐγώ, καὶ ἐν κόποις ἐκ νεότητός μου· ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην.
Ἐπ᾽ ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με.
Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ, ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα.
Ἐμάκρυνας ἀπ᾽ ἐμοῦ φίλον καὶ πλησίον, καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

*Καὶ πάλιν.*

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.
Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

Ψαλμὸς ρβ´ (102). **2ος**

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.
Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.
Τὸν εὐϊλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου.
Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς.
Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.
Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις.
Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.
Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος· οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.
Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.
Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.
Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ᾽ ἡμῶν τὰς ἀνομίας ἡμῶν.
Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν· ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμεν.
Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει.
Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.
Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος, ἐπὶ τοὺς φοβουμένους αὐτόν.
Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.
Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.
Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ Ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.
Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ Δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ.
Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

*Καὶ πάλιν.*

Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Ψαλμὸς ρμβ´ (142). **1ος**

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·
Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.
Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.
Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.
Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.
Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.
Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.
Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.
Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.
Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.
Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.
Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.
Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*Καὶ πάλιν.*

Εἰσάκουσόν μου, Κύριε, ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. **(δίς)**

*Εἶτα·*

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

**Δόξα. Καὶ νῦν.**

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός. **(τρίς)** ***Η ελπίς ημών Κύριε Δόξα Σοι***

*

## ΤΑ ΕΙΡΗΝΙΚΑ

*Πληρωθέντος τοῦ ἑξαψάλμου, ὁ ἱερεὺς λέγει ἐνώπιον τῆς ἁγίας Τραπέζης τὰ εἰρηνικά, τοῦ χοροῦ ψάλλοντος μεθ' ἑκάστην δέησιν τὸ* **Κύριε, ἐλέησον.**

*Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.*

*Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν.*

*Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως τοῦ Κυρίου δεηθῶμεν.*

*Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.*

*Ὑπὲρ τοῦ πατρός και ἀρχιεπισκόπου ἡμῶν* ***(δεινός)***, *τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ τοῦ Κυρίου δεηθῶμεν.*

*Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ καὶ τοῦ κατὰ ξηράν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ τοῦ Κυρίου δεηθῶμεν.*

*Ὑπὲρ τῆς ενορίας και πόλεως ταύτης, πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς τοῦ Κυρίου δεηθῶμεν.*

*Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν τοῦ Κυρίου δεηθῶμεν.*

*Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν τοῦ Κυρίου δεηθῶμεν.*

*Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.*

*Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.*

*Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας* (**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**) *μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.*

Ὁ χορός· **Σοί, Κύριε.**

Ὁ ἱερεὺς ἐκφώνως·

***Ὅτι πρέπει σοι πᾶσα δόξα,*** *τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν.**

*

**ΤΟ «ΘΕΟΣ ΚΥΡΙΟΣ» ΤΑ ΑΠΟΛΥΤΙΚΙΑ** *(όπως στον Εσπερινόν)*
***Ἦχος πλ. δ΄.*** *Από Βιβλίο «Αναγνώστη» - Σιμωνόπετρας σελίδα 63*

**Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.**

*Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.*

**Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...**

*Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

**Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...**

*Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.*

**Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...**

## ΑΠΟΛΥΤΙΚΙΑ

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι' αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, Φιλάνθρωπε, δόξα σοι. **(ἐκ γ΄)**

*

***Εἶτα, συναπτὴ μικρὰ ὑπὸ τοῦ διακόνου, τοῦ χοροῦ ψάλλοντος μεθ' ἑκάστην δέησιν τὸ*** ***Κύριε, ἐλέησον.***

*Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.*

*Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.*

*Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας* (**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**) *μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.*

Ὁ χορός· **Σοί, Κύριε.**

Ὁ ἱερεὺς ἐκφώνως·

***Ὅτι σὸν τὸ κράτος*** *καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν.**

*

## ΚΑΘΙΣΜΑΤΑ [Τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος]

*

*Ειδικά στον Όρθρο της Κυριακής, τα αναστάσιμα προσόμοια Καθίσματα του Εβδομαδιαίου Λειτουργικού Κύκλου (Παρακλητική) προηγούνται των αντίστοιχων προσόμοιων Καθισμάτων του Ετήσιου Λειτουργικού Κύκλου (Μηναία). Έτσι, η ημέρα της Κυριακής παίρνει πάντα τα προσόμοια Καθίσματά*

*της από τον Εβδομαδιαίο Λειτουργικό Κύκλο (Παρακλητική), όχι μόνο όταν συμπίπτει με εορτές, που έχουν Ακολουθίες εις δ΄, ή εις στ΄, αλλά, ακόμη, και όταν συμπίπτει με εορτές, που έχουν Ακολουθία εις η΄, ή Αγρυπνία. Τα αναστάσιμα προσόμοια Καθίσματα του Όρθρου της Κυριακής καταλιμπάνονται μόνο όταν η ημέρα της Κυριακής συμπίπτει με Αγρυπνία Δεσποτικής Εορτής (δηλαδή, με ακολουθία, που καταργεί τελείως τον Εβδομαδιαίο Λειτουργικό Κύκλο, όπως π.χ. τα Χριστούγεννα, τα Θεοφάνεια, και η Μεταμόρφωση του Σωτήρος).*

*

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Τὴν μεθέορτον πιστοί, καὶ τελευταίαν ἑορτήν, ἑορτάσωμεν φαιδρῶς· αὕτη ἐστὶ Πεντηκοστή, ἐπαγγελίας συμπλήρωσις, καὶ προθεσμίας· ἐν ταύτῃ γὰρ τὸ πῦρ, τοῦ Παρακλήτου εὐθύς, κατέβη ἐπὶ γῆς, ὥσπερ ἐν εἴδει γλωσσῶν, καὶ Μαθητὰς ἐφώτισε, καὶ τούτους οὐρανομύστας ἀνέδειξε· Τὸ φῶς ἐπέστη, τοῦ Παρακλήτου, καὶ τὸν κόσμον, ἐφώτισε.

**Δόξα. Καὶ νῦν.** Τὸ αὐτό.

**Τὴν μεθέορτον πιστοί, ...**

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα, ὅμοιον.

Ἡ τοῦ Πνεύματος πηγή, ἐπιδημοῦσα τοῖς ἐν γῇ, εἰς πυρφόρους ποταμούς, μεριζομένη νοητῶς, τοὺς Ἀποστόλους ἐδρόσιζε φωταγωγοῦσα· καὶ γέγονεν αὐτοῖς, νέφος δροσῶδες τὸ πῦρ, φωτίζουσα αὐτούς, καὶ ὑετίζουσα φλόξ, δι᾽ ὧν ἡμεῖς ἐλάβομεν τὴν χάριν, διὰ πυρός τε καὶ ὕδατος. Τὸ φῶς ἐπέστη, τοῦ Παρακλήτου, καὶ τὸν κόσμον ἐφώτισε.

**Δόξα. Καὶ νῦν.** Τὸ αὐτό.

**Ἡ τοῦ Πνεύματος πηγή, ...**

*

## ΠΟΛΥΕΛΕΟΣ

Ὁ Πολυέλεος· Ψαλμὸς ρλδ΄ (134). Δοῦλοι Κύριον.
Ψαλμὸς ρλε΄ (135). Ἐξομολογεῖσθε τῷ Κυρίῳ.
Εἶτα ἡ ἐκλογή·

## Εἰς τὴν Ἁγίαν Πεντηκοστήν·

*

Τὸ στερέωμα. Ἀλληλούϊα.

Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν,

Καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.

Ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ,

Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος, εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων.

Πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται,

Καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα.

Ἄνθρακες ἀνήφθησαν ἀπ᾽ αὐτοῦ.

Καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέβη.

Ἀπὸ τῆς τηλαυγήσεως ἐνώπιον αὐτοῦ αἱ νεφέλαι διῆλθον.

Πτέρυγες περιστερᾶς περιηργυρωμέναι,

Καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου.

Ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ.

Ἐν τῷ διαστέλλειν τὸν Ἐπουράνιον.

Βασιλεῖς ἐπ᾽ αὐτῆς, χιονωθήσονται ἐν Σελμών.

Μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς.

Καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν.

Ὅτι τοῦ Κυρίου ἡ βασιλεία καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν.

Ὁ νόμος Κυρίου ἄμωμος, ἐπιστρέφων ψυχάς·

Ἡ μαρτυρία Κυρίου πιστή, σοφίζουσα νήπια.

Τὰ δικαιώματα Κυρίου εὐθέα, εὐφραίνοντα καρδίαν·

Ἡ ἐντολὴ Κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμούς.

Γῆ ἐσείσθη, καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν ἀπὸ προσώπου τοῦ Θεοῦ τοῦ Σινᾶ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰσραήλ.

Βροχὴν ἑκούσιον ἀφοριεῖς, ὁ Θεός, τῇ κληρονομίᾳ σου· καὶ ἠσθένησε,

Σὺ δὲ κατηρτίσω αὐτήν.

Ἀντὶ τῶν πατέρων σου ἐγενήθησάν σοι υἱοί·

Καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν,

Καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται,

Καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός,

Καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου,

Καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ.

Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει·

Κύριος εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ.

**Δόξα.** Τριαδικόν. Ἦχος α΄.

Τὸν Πατέρα προσκυνήσωμεν, * καὶ τὸν Υἱὸν δοξολογήσωμεν, * καὶ τὸ Πανάγιον ὁμοῦ, * πάντες Πνεῦμα ἀνυμνήσωμεν, * κράζοντες καὶ λέγοντες· * Παναγία Τριάς, * σῶσον πάντας ἡμᾶς.

**Καὶ νῦν.** Θεοτοκίον.

Τὴν Μητέρα σου προσάγει σοι, * εἰς ἱκεσίαν ὁ λαός σου Χριστέ, * ταῖς παρακλήσεσιν αὐτῆς, * τοὺς οἰκτιρμούς σου δὸς ἡμῖν, Ἀγαθέ, * ἵνα σε δοξάζωμεν, * τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

*

***Εἶτα, συναπτὴ μικρὰ ὑπὸ τοῦ διακόνου, τοῦ χοροῦ ψάλλοντος μεθ᾽ ἑκάστην δέησιν τὸ Κύριε, ἐλέησον.***

*Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.*

*Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.*

*Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας (**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**) μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.*

Ὁ χορός· **Σοί, Κύριε.**

Ὁ ἱερεὺς ἐκφώνως·

***Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις*** *καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν.**

*

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος πλ. δ΄. Τὸ προσταχθὲν μυστικῶς.

Μετὰ τὴν Ἔγερσιν Χριστέ, τὴν ἐκ τοῦ τάφου, καὶ τὴν πρὸς ὕψος οὐρανοῦ, θείαν Ἀνάληψιν, τοῖς θεόπταις τὴν δόξαν σου κατέπεμψας Οἰκτίρμον, Πνεῦμα εὐθὲς ἐγκαινίσας τοῖς Μαθηταῖς· ὅθεν, ὥσπερ κιθάρα μουσουργική, πᾶσιν ἐτρανολόγησαν, τῷ θείῳ πλήκτρῳ μυστικῶς, Σῶτερ, τὰ ἀπηχήματα, καὶ τὴν οἰκονομίαν σου.

**Δόξα. Καὶ νῦν.** Τὸ αὐτό.

**Μετὰ τὴν Ἔγερσιν Χριστέ, ...**

*

**Εὐλογητάρια οὐ ψάλλονται
χάριν τῆς δεσποτικῆς ἑορτῆς.**

*

## ΑΝΑΒΑΘΜΟΙ, ΠΡΟΚΕΙΜΕΝΟΝ

Οἱ Ἀναβαθμοί· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Ἐκ νεότητός μου * πολλὰ πολεμεῖ με πάθη· * ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ * καὶ σῶσον, Σωτήρ μου. **(δίς)**

Οἱ μισοῦντες Σιών, * αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· * ὡς χόρτος γὰρ πυρὶ * ἔσεσθε ἀπεξηραμμένοι. **(δίς)**

**Δόξα.**

Ἁγίῳ Πνεύματι * πᾶσα ψυχὴ ζωοῦται * καὶ καθάρσει ὑψοῦται, * λαμπρύνεται * τῇ τριαδικῇ Μονάδι * ἱεροκρυφίως.

**Καὶ νῦν.**

Ἁγίῳ Πνεύματι * ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, * ἀρδεύοντα ἅπασαν τὴν κτίσιν * πρὸς ζωογονίαν.

*Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς ρμβ΄ (142).*

**Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.** *(ρμβ΄ 10)*

*Στίχ. α΄.* *Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.* *(ρμβ΄ 1)*

**Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.** *(ρμβ΄ 10)*

*Στίχ. β΄.* Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου. *(ρμβ΄ 7)*

**Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.** *(ρμβ΄ 10)*

*

## ΤΑΞΙΣ ΕΥΑΓΓΕΛΙΟΥ ΤΟΥ ΟΡΘΡΟΥ

*

*Τα Εωθινά Ευαγγέλια διαβάζονται από τον Ιερέα, μέσα στο Άγιο Βήμα και στα δεξιά της Αγίας Τράπεζας διότι αναφέρονται πάντα στο γεγονός της Αναστάσεως.*

*Ο Ιερέας είναι στην θέση του Αγγέλου, αλλά μετά και κατά την ώρα που ψάλεται ο 50ος ψαλμός (μόνο κατά τις Κυριακές και συγκεκριμένα όταν ο (αριστερός) ψάλτης φτάνει στο "...ιδού γαρ αλήθειαν ηγάπησας...") στέκεται στην μέση της εκκλησίας για να προσκυνήσουν οι πιστοί το Ευαγγέλιο. Αυτή η στιγμή συμβολίζει την στιγμή που ο Χριστός παρουσιάστηκε στους μαθητές του.*

*Τα Εωθινά Ευαγγέλια είναι ένδεκα τον αριθμό και είναι οι ένδεκα ευαγγελικές περικοπές, οι οποίες αναφέρονται στο γεγονός της Αναστάσεως του Κυρίου και τις εμφανίσεις Του στους μαθητές Του. Είναι κομμάτια και από τους τέσσερεις Ευαγγελιστές και αναγιγνώσκονται με τη σειρά κάθε Κυριακή κατά την ακολουθία του Όρθρου.*

*Ο πρεσβύτερος όταν διαβάζει το εωθινό ευαγγέλιο στα δεξιά της Αγίας Τραπέζης, πρέπει να ενδύεται «λευκό φαιλόνιο», όπως τον «νεανίσκον καθήμενον εν τοις δεξιοίς περιβεβλημένον στολήν λευκή». «Ο νεανίσκος» είναι άγγελος, σύμφωνα με γνώμη των πατέρων και ερμηνευτών. Έτσι τονίζεται και εκφράζεται δια του τρόπου αυτού η συμβολική παρουσία του ιερέως, ως «αγγέλου» επί του μνήματος του Αναστάντος Κυρίου, κατά την ώραν εκείνη.*

*«εν λευκοίς ιματοίοις», για το φωτεινό της φύσεως και το χαροποιό της ειδήσεως*

*

Ὁ διάκονος· *Τοῦ Κυρίου δεηθῶμεν.*

**Κύριε, ἐλέησον.**

Ὁ ἱερεύς· *Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, ...*

*Σταθερὸν Προκείμενον ὄρθρου. Ἦχος β΄. Ψαλμὸς ρν΄ (150).*

**Ἀμήν. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.**

**Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.**

**Αἰνεσάτω πνοὴ… πᾶσα τὸν Κύριον.**

Ὁ διάκονος· *Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.*

**Κύριε, ἐλέησον. (γ΄)**

Ὁ διάκονος· *Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.*

Ὁ ἱερεύς· *Εἰρήνη πᾶσι.*

**Καὶ τῷ Πνεύματί σου.**

Ὁ ἱερεύς· *Ἐκ τοῦ κατὰ **Ἰωάννην** ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.*

Ὁ διάκονος· *Πρόσχωμεν.*

**Δόξα σοι, Κύριε, δόξα σοι.**

*Καὶ ἀναγινώσκει ὁ ἱερεὺς τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου τῆς ἑορτῆς* ***ἀπὸ τῆς Ὡραίας Πύλης.***

## Ἐκ τοῦ κατὰ **Ἰωάννην** (κ΄ 19-23).

Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· **Εἰρήνη ὑμῖν.** Καὶ τοῦτο εἰπὼν ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. Ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν Κύριον. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν· **Εἰρήνη ὑμῖν. Καθὼς ἀπέσταλκέ με ὁ πατήρ, κἀγὼ πέμπω ὑμᾶς. Καὶ τοῦτο εἰπὼν ἐνεφύσησε καὶ λέγει αὐτοῖς· Λάβετε Πνεῦμα ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται.**

*

Ὁ χορός· **Δόξα σοι, Κύριε, δόξα σοι.**

**Ἀνάστασιν Χριστοῦ, οὐ λέγομεν,**
ἀλλ᾽ εὐθὺς τὸν ν΄ ψαλμόν, **χύμα**.

*

*Ο Ν΄ ΨΑΛΜΟΣ. Είναι ο γνωστός σε όλους **50ος** Ψαλμός («Ελέησόν με ο Θεός...»), που, σύμφωνα με την παράδοση της Εκκλησίας, γράφτηκε από τον **Προφητάνακτα Δαβίδ** σε ένδειξη μετανοίας για το διπλό του αμάρτημα (δηλαδή, **τα αμαρτήματα της δολοφονίας του στρατηγού Ουρία, και της μοιχείας με τη σύζυγο του Ουρία, τη Βηρσαβεέ)**. Ο 50ος ψαλμός, ως ψαλμός μετανοίας, **θεωρείται, όχι άδικα, ως ένας από τους ωραιότερους και σπουδαιότερους ψαλμούς**, για αυτό και διαβάζεται μέσα στη λατρεία της Εκκλησίας περισσότερο από οποιονδήποτε άλλο ψαλμό (περίπου 10 φορές την ημέρα). Στις αναστάσιμες Αγρυπνίες της Κυριακής ο 50ος ψαλμός ψάλλεται αντιφωνικά από τους δύο (2) χορούς, ενώ, κατά την ώρα της ψαλμωδίας του, γίνεται η προσκύνηση του Ιερού Ευαγγελίου (Λειτουργικό Ευαγγέλιο). Στις Αγρυπνίες των εορτών του Ετήσιου Λειτουργικού Κύκλου ο 50ος ψαλμός δεν ψάλλεται, αλλά απλά αναγιγνώσκεται από τον Αναγνώστη ή τον Προεστό της λατρευτικής σύναξης.*

*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

*Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.*

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

*Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.*

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

*Ψαλλομένου τοῦ «**Ἰδοὺ**» γίνεται ἡ εἴσοδος τοῦ ἁγίου Εὐαγγελίου.*

*Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.*

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

*Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.*

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

*Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.*

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

*Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.*

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

*Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.*

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

*Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.*

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

*Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.*

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

*Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους*

**Δόξα.**

Ταῖς τῶν **Ἀποστόλων*** πρεσβείαις, ἐλεῆμον, * ἐξάλειψον τὰ πλήθη * τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ νῦν.**

Ταῖς τῆς **Θεοτόκου*** πρεσβείαις, ἐλεῆμον, * ἐξάλειψον τὰ πλήθη* τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ τὸ παρὸν Ἰδιόμελον. **Ἦχος πλ. β΄.**

Στίχ. *Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.*

**Β**ασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον Ἀγαθὲ ***τὰς ψυχὰς ἡμῶν.***

**Ὁ ἱερεύς·** *Σῶσον, ὁ Θεός, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰτιρμοῖς· ὕψωσον κέρας Χριστιανῶν Ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων, καὶ πανευφήμων Ἀποστόλων. Τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, μεγάλων Ἱεραρχῶν, καὶ Οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας, Νικολάου τοῦ ἐν Μύροις τῆς Λυκίας, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, καὶ Νεκταρίου τῆς Πενταπόλεως, τῶν θαυματουργῶν, τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρου τοῦ Τήρωνος, καὶ Θεοδώρου τοῦ Στρατηλάτου καὶ Μηνᾶ τοῦ θαυματουργοῦ, τῶν ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου· τῶν ἁγίων, ἐνδόξων, μεγάλων μαρτύρων Θέκλας, Βαρβάρας, Ἀναστασίας, Κυριακῆς, Φωτεινῆς, Μαρίνης, Παρασκευῆς καὶ Εἰρήνης· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, (ναοῦ), τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, (ἡμέρας), καὶ πάντων σου τῶν Ἁγίων* ***ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.***

Χορὸς: **Κύριε, ἐλέησον (ιβ')**

Ἱερεὺς: *Ἐλέει, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Χορὸς: **Ἀμήν.**

*

## ΟΙ ΚΑΝΟΝΕΣ

Οἱ δύο κανόνες τοῦ Πεντηκοσταρίου μετὰ τῶν εἱρμῶν αὐτῶν «ἄνευ στίχων» (ἀλλὰ μετὰ τοῦ Δόξα, Καὶ νῦν, εἰς τὰ δύο τελευταῖα τροπάρια ἑκάστης ᾠδῆς τοῦ β΄ κανόνος).
[Ὁ τοῦ βαρέος μετὰ τῶν Εἱρμῶν, εἰς δ/η΄ καὶ ὁ τοῦ δ΄ μετὰ τῶν Εἱρμῶν, εἰς δ/ϛ΄.]

*

*Οἱ Κανόνες ἀποτελοῦνται ἀπὸ μικρότερα μέρη, ποὺ ὀνομάζονται ᾠδές. Ἕνας Κανόνας μπορεῖ νὰ ἔχει ἀπὸ δύο (2) μέχρι καὶ ἐννέα (9) ᾠδές. Κάθε μία ἀπὸ τὶς ᾠδὲς τοῦ Κανόνα ἀποτελεῖται ἀπὸ ἕναν (1) εἱρμὸ καὶ ἀπὸ τὰ Τροπάρια, ποὺ τὸν ἀκολουθοῦν. Ὁ εἱρμὸς εἶναι ἕνας σύντομος ὕμνος, ποὺ ἀποτελεῖ τὸ μουσικὸ καὶ μετρικὸ πρότυπο ὅλων τῶν Τροπαρίων τῆς ᾠδῆς. Κάθε μία ἀπὸ τὶς ᾠδὲς τοῦ Κανόνα περιέχει, συνήθως, ἀπὸ δύο (2) μέχρι καὶ πέντε (5) Τροπάρια, τὸ τελευταῖο ἐκ τῶν ὁποίων εἶναι Θεοτοκίον.*
***Στοὺς ἐνοριακούς, ναοὺς σήμερα ἔχει ἐπικρατήσει ἡ ἑξῆς τυπικὴ τάξη: ψάλλεται ἢ ἀναγιγνώσκεται μόνο ἡ α΄ καὶ ἡ γ΄ ᾠδὴ τῶν Κανόνων.*** *Πρὶν ἀπὸ κάθε τροπάριο τοῦ εἱρμοῦ προτάσσεται στίχος, ὅπως «Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι» γιὰ τὸν Ἀναστάσιμο κανόνα ἢ «Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν» γιὰ τὸν κανόνα τῶν ἁγίων ἢ «Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς» γιὰ τὰ Θεοτοκία, ποὺ ἐπαναλαμβάνονται ἀπαραίτητα πρὶν ἀπὸ κάθε τροπάριο.*
*Οἱ Κανόνες τῆς ἀκολουθίας τοῦ Ὄρθρου δὲν ψάλλονται διαδοχικὰ (δηλαδή, ὁ ἕνας μετὰ τὸν ἄλλο), ἀλλὰ τμηματικὰ ἀνὰ ᾠδή· ψάλλεται, δηλαδή, ἡ α΄ ᾠδὴ ὅλων τῶν Κανόνων, καί, ἐν συνεχεία, ψάλλεται ἡ γ΄ ᾠδὴ ὅλων τῶν Κανόνων τῆς ἀκολουθίας. Ἂν γιὰ παράδειγμα τὸ τυπικὸ ὁρίζει ὅτι πρέπει νὰ ψαλοῦν 2 κανόνες ὁ Ἀναστάσιμος καὶ τοῦ Ἁγίου, διαβάζουμε πρῶτα τὴν α΄ ᾠδὴ τοῦ Ἀναστασίμου κανόνα ἔπειτα τὴν α΄ ᾠδὴ ἀπὸ τὸν κανόνα τοῦ Ἁγίου (δὲν λησμονοῦμε νὰ προτάσσουμε τὸν ἀνάλογο στίχο) καὶ ἕπεται ἡ γ΄ ᾠδὴ τοῦ Ἀναστάσιμου καὶ μετὰ ἡ γ΄ ᾠδὴ τοῦ κανόνα τοῦ Ἁγίου κοκ.*

*

*Στοὺς ἐνοριακούς, ναοὺς σήμερα ἔχει ἐπικρατήσει ἡ τυπικὴ τάξη, να* ***ψάλλεται ἢ ἀναγιγνώσκεται μόνο ἡ α΄ καὶ ἡ γ΄ ᾠδὴ*** *τῶν Κανόνων.*

*

## Ὁ Κανών, οὗ ἡ Ἀκροστιχίς· Πεντηκοστὴν ἑορτάζομεν. Ποίημα Κοσμᾶ Μοναχοῦ.

### Ὠδὴ α΄. Ἦχος **βαρύς**. Ὁ εἱρμός.

» **Π**όντῳ ἐκάλυψε Φαραὼ σὺν ἅρμασιν, ὁ συντρίβων πολέμους ἐν ὑψηλῷ βραχίονι· ᾄσωμεν αὐτῷ, ὅτι δεδόξασται. **(δίς)**

### Τροπάρια.

**Ἔ**ργῳ, ὡς πάλαι τοῖς Μαθηταῖς ἐπηγγείλω, τὸ Παράκλητον Πνεῦμα ἐξαποστείλας Χριστέ, ἔλαμψας τῷ κόσμῳ φῶς, Φιλάνθρωπε.

**Ν**όμῳ τὸ πάλαι προκηρυχθὲν καὶ Προφήταις, ἐπληρώθη· τοῦ θείου Πνεύματος σήμερον, πᾶσι γὰρ πιστοῖς χάρις ἐκκέχυται.

## Ἕτερος Κανὼν Ἰαμβικός.

Οὗ ἡ Ἀκροστιχὶς διὰ στίχων Ἡρωελεγείων·
Θειογενὲς Λόγε, Πνεῦμα Παράκλητον πάλιν ἄλλον,
Ἐκ Γενέτου κόλπων ἧκας ἐπιχθονίοις,
Οἷα πυρὸς γλώσσῃσι φέρον Θεότητος αὔλου.
Σῆμα τεῆς φύτλης, καὶ χάριν ὑμνοπόλοις.
Ποίημα Κυρίου Ἰωάννου τοῦ Ἀρκλᾶ.

### Ὠδὴ α΄. **Ἦχος δ΄.** Ὁ εἱρμός.

» **Θ**είῳ καλυφθεὶς ὁ βραδύγλωσσος γνόφῳ.
» Ἐῤῥητόρευσε τὸν θεόγραφον νόμον·
» Ἰλὺν γὰρ ἐκτινάξας ὄμματος νόου,
» Ὁρᾷ τὸν ὄντα, καὶ μυεῖται Πνεύματος
» Γνῶσιν, γεραίρων ἐνθέοις τοῖς ᾄσμασιν.
**(δίς)**

### Τροπάρια.

**Δόξα.**

**Ἔ**φη τὸ σεπτὸν καὶ σεβάσμιον στόμα·
Νοσφισμὸς ὑμῖν οὐ γενήσεται φίλοις.
Ἐγὼ γὰρ εἰς πατρῷον ὕψιστον θρόνον
Συνεδριάζων, ἐκχεῶ τοῦ Πνεύματος,
Λάμψαι ποθοῦσι, τὴν χάριν τὴν ἄφθονον.

**Καὶ νῦν.**

Ὄρος βεβηκώς, ἀτρεκέστατος Λόγος,
Γαληνόμορφον ἐκτελεῖ τὴν καρδίαν·
Ἔργον γὰρ ἐκπεράνας, εὔφρανε φίλους,
Πνοῇ βιαίᾳ, καὶ πυρὸς γλωττήμασι,
Νείμας τὸ Πνεῦμα Χριστός, ὡς ὑπέσχετο.

Ὠδὴ γ΄. Ἦχος **βαρύς**. Ὁ εἱρμός.

» Τὴν ἐξ ὕψους δύναμιν τοῖς Μαθηταῖς, Χριστέ, ἕως ἂν ἐνδύσησθε ἔφης, καθίσατε ἐν Ἱερουσαλήμ· ἐγὼ δὲ ὡς ἐμὲ Παράκλητον ἄλλον, Πνεῦμα τὸ ἐμόν τε καὶ Πατρὸς ἀποστελῶ, ἐν ᾧ στερεωθήσεσθε. **(δίς)**

Τροπάριον.

Ἡ τοῦ θείου Πνεύματος ἐπιδημήσασα δύναμις, τὴν μερισθεῖσαν πάλαι φωνήν, κακῶς ὁμονοησάντων, εἰς μίαν ἁρμονίαν θείως συνῆψε, γνῶσιν συνετίζουσα πιστοὺς τῆς Τριάδος, ἐν ᾗ ἐστερεώθημεν. **(δίς)**

Εἱρμὸς ἄλλος. Ὠδὴ γ΄. **Ἦχος δ΄.**

» Ἔρρηξε γαστρὸς ἠτεκνωμένης πέδας,
» Ὕβριν τε δυσκάθεκτον εὐτεκνουμένης,
» Μόνη προσευχὴ τῆς Προφήτιδος πάλαι
» Ἄννης, φερούσης πνεῦμα συντετριμμένον,
» Πρὸς τὸν δυνάστην, καὶ Θεὸν τῶν γνώσεων. **(δίς)**

Τροπάρια.

**Δόξα.**

Ἄληπτός ἐστιν ἡ Θεαρχικωτάτη·
Ῥήτρας γὰρ ἐξέφηνε τοὺς ἀγραμμάτους,
Ἅλις σοφιστὰς συστομίζοντας λόγῳ,
Καὶ τῆς βαθείας νυκτὸς ἐξαιρουμένους,
Λαοὺς ἀπείρους, ἀστραπῇ τοῦ Πνεύματος.

**Καὶ νῦν.**

Ἦν ἐκπορευτὸν ἐξ ἀγεννήτου φάους,
Τὸ πανσθενουργόφωτον ἄφθιτον σέλας,
Οὗ τὴν δι᾽ Υἱοῦ πατρικῆς ἐξουσίας,
Νῦν ἐμφανίζει συμφυῆ φρυκτωρίαν,
Πυρῶδες ***ἦχος ἐν Σιὼν τοῖς ἔθνεσιν.***

*

***Εἶτα, συναπτὴ μικρὰ ὑπὸ τοῦ διακόνου, τοῦ χοροῦ ψάλλοντος μεθ᾽ ἑκάστην δέησιν τὸ Κύριε, ἐλέησον.***

*Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.*
*Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.*
*Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας (***Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς***) μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.*

Ὁ χορός· **Σοί, Κύριε.**

Ὁ ἱερεὺς ἐκφώνως·

***Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν*** *καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν.**

*

## ΜΕΣΩΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

*

Κάθισμα τῆς ἑορτῆς.
Ἦχος πλ. δ΄. Τὸ προσταχθέν.

Οἱ τοῦ Σωτῆρος ἐρασταὶ χαρᾶς ἐπλήσθησαν, καὶ θάρσος ἔλαβον, οἱ πρῴην δειλιῶντες, ὡς τὸ Πνεῦμα τὸ ἅγιον σήμερον ἐξ ὕψους, κατῆλθεν ἐπὶ τὸν οἶκον τῶν Μαθητῶν, καὶ ἄλλος ἄλλα ἐλάλει πρὸς τοὺς λαούς· γλῶσσαι γὰρ διεσπάρησαν, ὁρώμεναι ὡσεὶ πυρός, καὶ τούτους οὐ κατέφλεξαν, ἀλλὰ μᾶλλον ἐδρόσισαν.

**Δόξα. Καὶ νῦν.** Τὸ αὐτό.

**Οἱ τοῦ Σωτῆρος ἐρασταὶ ...**

*

***Εἶτα αἱ δ΄, ε΄ καὶ Ϛ΄ ᾠδαὶ τῶν κανόνων.***

*

*Στοὺς ἐνοριακούς, ναοὺς σήμερα ἔχει ἐπικρατήσει ἡ τυπικὴ τάξη, να* ***ψάλλεται ἢ ἀναγιγνώσκεται μόνο ἡ α΄ καὶ ἡ γ΄ ᾠδὴ*** *τῶν Κανόνων.*

*

***Εἶτα, συναπτὴ μικρὰ ὑπὸ τοῦ διακόνου, τοῦ χοροῦ ψάλλοντος μεθ᾽ ἑκάστην δέησιν τὸ Κύριε, ἐλέησον.***

*Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.*
*Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.*
*Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας (***Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς***) μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.*

Ὁ χορός· **Σοί, Κύριε.**

Ὁ ἱερεὺς ἐκφώνως·

***Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης*** *καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν.**

*

## ΚΟΝΤΑΚΙΟΝ, ΟΙΚΟΣ, ΣΥΝΑΞΑΡΙΟΝ

*

Κοντάκιον καὶ Οἶκος τῆς Πεντηκοστῆς.
Κοντάκιον. Ἦχος πλ. δ΄.

Ὅτε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν ἔθνη ὁ Ὕψιστος· ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, εἰς ἑνότητα πάντας ἐκάλεσε· καὶ συμφώνως ***δοξάζομεν τὸ Πανάγιον Πνεῦμα.***

Ὁ Οἶκος.

Ταχεῖαν καὶ σταθηρὰν δίδου παραμυθίαν τοῖς δούλοις σου, Ἰησοῦ, ἐν τῷ ἀκηδιάσαι τὰ πνεύματα ἡμῶν· μὴ χωρίζου τῶν ψυχῶν ἡμῶν ἐν θλίψεσι, μὴ μακρύνου τῶν φρενῶν ἡμῶν ἐν περιστάσεσιν, ἀλλὰ ἀεὶ ἡμᾶς πρόφθασον. Ἔγγισον ἡμῖν, ἔγγισον ὁ πανταχοῦ· ὥς περ καὶ τοῖς Ἀποστόλοις σου πάντοτε συνῆς, οὕτω καὶ τοῖς σὲ ποθοῦσιν ἕνωσον σαυτὸν Οἰκτίρμον, ἵνα συνημμένοι σοι ὑμνῶμεν, καὶ ***δοξολογῶμεν τὸ πανάγιόν σου Πνεῦμα.***

Συναξάριον. Πρῶτον τοῦ Μηναίου.

Τῇ ΛΑ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἁγίου μάρτυρος **Ἑρμείου**. (†160)
Στίχ. Βάπτεις σεαυτὸν κογχύλῃ τῶν αἱμάτων,
Ἑρμεία τμηθείς· ὢ βαφῆς ἀνεκπλύτου!
Ἑρμείαν τριακοστῇ ἄορ κατέκτανε πρώτῃ.

Τῇ αὐτῇ ἡμέρᾳ, **ὁ τῷ ἁγίῳ Ἑρμείᾳ κεράσας τὸ θανατηφόρον φάρμακον μάγος, πιστεύσας τῷ Χριστῷ, ξίφει τελειοῦται**. (†160)
Στίχ. Σὺ τῷ Ἑρμείᾳ τὸν θάνατον παρέσχες,
**Ἀλλ᾽ ὁ Χριστός σε, Μάγε, εἵλκυσε ξένως.**

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας **Πετρονίλης**, θυγατρὸς τοῦ ἀποστόλου Πέτρου. (α΄ αἰ.)
Στίχ. Πέτρου σὺ βλαστὸς ὑπάρχεις Πετρονίλα,
Πίστεως ὁμοῦ κατάκαρπος ἐλαία.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ ἅγιοι μάρτυρες **Εὐσέβιος** καὶ **Χαραλάμπης** πυρὶ τελειοῦνται.
Στίχ. Ζήλου πυρὶ φλεχθέντες ἀθληταὶ δύο,
Ἰλιγγιῶσιν οὐδαμῶς πρὸς πῦρ φλέγον.

Τῇ αὐτῇ ἡμέρᾳ, **οἱ ἅγιοι πέντε μάρτυρες** οἱ ἐν **Ἀσκάλωνι**, κατὰ γῆς συρόμενοι τελειοῦνται.
Στίχ. Ἱμάτια πρίν, νῦν δὲ πεντὰς Κυρίῳ,
Ἀνδρῶν συρθέντων στρῶσις ἡπλώθη ξένη.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Εὐσταθίου**, πατριάρχου Κωνσταντινουπόλεως. (†1025)
Στίχ. Ἐν εὐσταθείᾳ πατριαρχεύσας, Πάτερ,
Εἰς τὸν ἀκύμαντον ἔφθασας λιμένα.

*

**Εἶτα τὸ τοῦ Πεντηκοσταρίου.**

Τῇ αὐτῇ ἡμέρᾳ, **Κυριακῇ ὀγδόῃ ἀπὸ τοῦ Πάσχα, τὴν ἁγίαν Πεντηκοστὴν ἑορτάζομεν.**

*Στίχοι*
Πνοῇ βιαίᾳ γλωσσοπυρσεύτως νέμει,
Χριστὸς τὸ θεῖον Πνεῦμα τοῖς Ἀποστόλοις.

Ἐκκέχυται μεγάλῳ ἐνὶ ἤματι Πνεῦμ᾽ ἁλιεῦσι.

***Ταῖς τῶν ἁγίων Ἀποστόλων πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.***

*

***Εἶτα αἱ ζ΄ καὶ η΄ ᾠδαὶ τῶν κανόνων.***

*

*Στοὺς ἐνοριακούς, ναοὺς σήμερα ἔχει ἐπικρατήσει ἡ ἑξῆς τυπικὴ τάξη: **ψάλλεται** ἢ ἀναγιγνώσκεται **μόνο** ἡ **α΄ καὶ** ἡ **γ΄ ᾠδὴ** τῶν Κανόνων. Οι ἄλλες καταλιμπάνονται!*

*

## ΚΑΤΑΒΑΣΙΑΙ
## Τῆς Πεντηκοστῆς (Πεζαὶ καὶ ἰαμβικαί)

Ψάλλονται ἀμφότεραι τῇ Κυριακῇ τῆς Πεντηκοστῆς καὶ εἰς τὴν ἀπόδοσιν αὐτῆς, μόναι δὲ αἱ ἰαμβικαὶ ἀπὸ τῆς Ἀναλήψεως μέχρι τῆς ἀποδόσεως αὐτῆς καὶ ἀπὸ τῆς Δευτέρας τοῦ Ἁγίου Πνεύματος μέχρι τῆς Παρασκευῆς μετὰ τὴν Πεντηκοστήν.

Ὠδὴ α΄. Ἦχος **βαρύς**.

Πόντῳ * ἐκάλυψε Φαραὼ σὺν ἅρμασιν * ὁ συντρίβων πολέμους * ἐν ὑψηλῷ βραχίονι· * ᾄσωμεν αὐτῷ, * ὅτι δεδόξασται.

Ἰαμβική. **Ἦχος δ΄.**

Θείῳ καλυφθεὶς * ὁ βραδύγλωσσος γνόφῳ,
Ἐρρητόρευσε * τὸν θεόγραφον νόμον·
Ἰλὺν γὰρ ἐκτινάξας * ὄμματος νόου,
Ὁρᾷ τὸν ὄντα * καὶ μυεῖται Πνεύματος
Γνῶσιν, γεραίρων * ἐνθέοις τοῖς ᾄσμασιν.

Ὠδὴ γ΄. Ἦχος **βαρύς**.

Τὴν ἐξ ὕψους δύναμιν * τοῖς μαθηταῖς, Χριστέ, * ἕως ἂν ἐνδύσησθε, ἔφης, * καθίσατε ἐν Ἱερουσαλήμ· * ἐγὼ δὲ ὡς ἐμὲ Παράκλητον ἄλλον, * Πνεῦμα τὸ ἐμόν τε * καὶ Πατρὸς ἀποστελῶ, * ἐν ᾧ στερεωθήσεσθε.

Ἰαμβική. **Ἦχος δ΄.**

Ἔρρηξε γαστρὸς * ἠτεκνωμένης πέδας,
Ὕβριν τε δυσκάθεκτον * εὐτεκνουμένης,
Μόνη προσευχὴ * τῆς προφήτιδος πάλαι
Ἄννης, φερούσης * πνεῦμα συντετριμμένον,
Πρὸς τὸν δυνάστην * *καὶ Θεὸν τῶν γνώσεων.*

### Ὠδὴ δ΄. Ἦχος **βαρύς.**

**Κ**ατανοῶν ὁ προφήτης * τὴν ἐπ᾽ ἐσχάτων σου, Χριστέ, * ἔλευσιν, ἀνεβόα· * Τὴν σὴν εἰσακήκοα, Κύριε, * δυναστείαν, ὅτι πάντας * τοῦ σῶσαι τοὺς χριστούς σου ἐλήλυθας.

### Ἰαμβική. **Ἦχος δ΄.**

**Ἄ**ναξ ἀνάκτων, * οἷος ἐξ οἵου μόνος,
Λόγος προελθὼν * Πατρὸς ἐξ ἀναιτίου,
Ἰσοσθενές σου * Πνεῦμα τοῖς ἀποστόλοις
Νημερτὲς ἐξέπεμψας * ὡς εὐεργέτης,
ᾌδουσι· *Δόξα * τῷ κράτει σου, Κύριε.*

### Ὠδὴ ε΄. Ἦχος **βαρύς.**

**Τ**ὸ διὰ τὸν φόβον σου * ληφθέν, Κύριε, * ἐν γαστρὶ τῶν προφητῶν * καὶ κυηθὲν ἐπὶ τῆς γῆς * Πνεῦμα σωτηρίας, * ἀποστολικὰς καρδίας * κτίζει καθαρὰς * καὶ ἐν τοῖς πιστοῖς * εὐθὲς ἐγκαινίζεται· * φῶς γὰρ καὶ εἰρήνη * διότι τὰ σὰ προστάγματα.

### Ἰαμβική. **Ἦχος δ΄.**

**Λ**υτήριον κάθαρσιν * ἀμπλακημάτων,
Πυρίπνοον δέξασθε * Πνεύματος δρόσον,
Ὦ τέκνα φωτόμορφα * τῆς Ἐκκλησίας·
Νῦν ἐκ Σιὼν γὰρ * ἐξελήλυθε νόμος,
Ἡ γλωσσοπυρσόμορφος * *Πνεύματος χάρις.*

### Ὠδὴ ϛ΄. Ἦχος **βαρύς.**

**Ν**αυτιῶν τῷ σάλῳ * τῶν βιοτικῶν μελημάτων, * συμπλόοις ποντούμενος ἁμαρτίαις * καὶ ψυχοφθόρῳ θηρὶ προσριπτούμενος, * ὡς ὁ Ἰωνᾶς, Χριστέ, βοῶ σοι· * Ἐκ θανατηφόρου με βυθοῦ ἀνάγαγε.

### Ἰαμβική. **Ἦχος δ΄.**

**Ἰ**λασμὸς ἡμῖν, * Χριστέ, καὶ σωτηρία
Ὁ Δεσπότης ἔλαμψας * ἐκ τῆς Παρθένου,
Ἵν᾽, ὡς προφήτην * θηρὸς ἐκ θαλαττίου
Στέρνων Ἰωνᾶν, * τῆς φθορᾶς διαρπάσῃς
Ὅλον τὸν Ἀδὰμ * *παγγενῆ πεπτωκότα.*

### Ὠδὴ ζ΄. Ἦχος **βαρύς.**

**Οἱ** ἐν καμίνῳ τοῦ πυρὸς * ἐμβληθέντες ὅσιοι παῖδες * τὸ πῦρ εἰς δρόσον μετέβαλον * διὰ τῆς ὑμνῳδίας, * οὕτω βοῶντες· * Εὐλογητὸς εἶ, Κύριε, * ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

### Ἰαμβική. **Ἦχος δ΄.**

**Σ**ύμφωνον ἐθρόησεν * ὀργάνων μέλος
Σέβειν τὸ χρυσότευκτον * ἄψυχον βρέτας·
Ἡ τοῦ Παρακλήτου δὲ * φωσφόρος χάρις
Σεβασμιάζει * τοῦ βοᾶν· Τριὰς μόνη,
Ἰσοσθενής, *ἄναρχος, * εὐλογητὸς εἶ.*

### Ὠδὴ η΄. Ἦχος **βαρύς.**

***Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν Κύριον,***
ὑμνοῦντες καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.

**Ἄ**φλεκτος πυρὶ * ἐν Σινᾷ προσομιλοῦσα * βάτος Θεὸν ἐγνώρισε * τῷ βραδυγλώσσῳ καὶ δυσήχῳ Μωσῇ· * καὶ παῖδας ζῆλος Θεοῦ * τρεῖς ἀναλώτους τῷ πυρὶ * ὑμνῳδοὺς ἔδειξε· * Πάντα τὰ ἔργα Κυρίου * τὸν Κύριον ὑμνεῖτε * καὶ ὑπερυψοῦτε * εἰς πάντας τοὺς αἰῶνας.

### Ἰαμβική. **Ἦχος δ΄.**

**Λ**ύει τὰ δεσμὰ * καὶ δροσίζει τὴν φλόγα
Ὁ τρισσοφεγγὴς * τῆς θεαρχίας τύπος.
Ὑμνοῦσι παῖδες, * εὐλογεῖ δὲ τὸν μόνον
Σωτῆρα καὶ παντουργὸν * ὡς εὐεργέτην
Ἡ δημιουργηθεῖσα * ***σύμπασα κτίσις.***

*

***Ὁ διάκονος· Τὴν Θεοτόκον καὶ Μητέρα Τοῦ Φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.***

*

*Μετὰ τὴν ἐκφώνηση τοῦ Διακόνου ἢ τοῦ Ἱερέως «Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ Φωτός, ...», ἡ στιχολογία τῆς Τιμιωτέρας ψάλλεται στὸν ἦχο τῶν καταβασιῶν· ἕπεται ἡ θ΄ (ἐνάτη) ᾠδὴ τῶν καταβασιῶν. Ὅταν τὸ ὁρίζει τὸ τυπικό, σὲ δεσποτικὲς καὶ θεομητορικὲς ἑορτὲς δὲν στιχολογεῖται ἡ Τιμιωτέρα ἀλλὰ ψάλλεται ὅλη ἡ ἐνάτη ᾠδή.*

*

## Η ΩΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ
### Ἡ Τιμιωτέρα οὐ στιχολογεῖται.
### Ἐκ τῶν Κανόνων τῆς Ἑορτῆς.

Ἀντὶ τῆς στιχολογίας τῆς ᾠδῆς τῆς Θεοτόκου, ψάλλεται ἡ θ΄ ᾠδὴ τῶν κανόνων [τοῦ μὲν α΄ μετὰ στίχου «Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι», τοῦ δὲ β΄ μετὰ τοῦ μεγαλυναρίου «Ἀπόστολοι τὴν χάριν τοῦ Παρακλήτου, λαβόντες ἐξεπλήττοντο, ἑτέραις γλώσσαις λαλοῦντες, καθὼς τὸ Πνεῦμα ἐδίδου».

### Ὠδὴ θ΄. Ἦχος **βαρύς**. Ὁ εἱρμός.

» **Μ**ὴ τῆς φθορᾶς διαπείρᾳ κυοφορήσασα, καὶ παντεχνήμονι Λόγῳ σάρκα δανείσασα, Μῆτερ ἀπείρανδρε, Παρθένε Θεοτόκε, δοχεῖον τοῦ ἀστέκτου, χωρίον τοῦ ἀπείρου Πλαστουργοῦ σου, σὲ μεγαλύνομεν. (δίς)

### Τροπάρια.

**Ἐ**πιπαφλάζοντος πάλαι πυρίνου ἅρματος, ὁ ζηλωτὴς καὶ πυρίπνους χαίρων ὀχούμενος, τὴν νῦν ἐκλάμψασαν ἐπίπνοιαν ἐδήλου, ἐξ ὕψους Ἀποστόλοις, ὑφ᾽ ἧς καταλαμφθέντες, τὴν Τριάδα πᾶσιν ἐγνώρισαν.

Νόμου τῶν φύσεων δίχα ξένον ἠκούετο· τῶν Μαθητῶν τῆς μιᾶς γὰρ φωνῆς ἀπηχουμένης, Πνεύματος χάριτι, ποικίλως, ἐνηχοῦντο, λαοί, φυλαὶ καὶ γλῶσσαι, τὰ θεῖα μεγαλεῖα, τῆς Τριάδος γνῶσιν μυούμενοι.

### Εἱρμὸς ἄλλος. Ὠδὴ θ΄. Ἦχος δ΄.

» Χαίροις Ἄνασσα, μητροπάρθενον κλέος·
» Ἅπαν γὰρ εὐδίνητον εὔλαλον στόμα,
» Ῥητρεῦον, οὐ σθένει σε μέλπειν ἀξίως·
» Ἰλιγγιᾷ δὲ νοῦς ἅπας σου τὸν τόκον
» Νοεῖν· ὅθεν σε συμφώνως δοξάζομεν. (δίς)

### Τροπάρια.

**Δόξα.**

Ὕδειν ἔοικε τὴν φυσίζωον Κόρην·
Μόνη γὰρ ἐν δίνησι κεκρύφει Λόγον,
Νοσοῦσαν ἀλθαίνοντα τὴν βροτῶν φύσιν·
Ὃς δεξιοῖς κλισμοῖσι νῦν ἱδρυμένος
Πατρός, πέπομφε τὴν χάριν τοῦ Πνεύματος.

**Καὶ νῦν.**

Ὅσοις ἔπνευσεν ἡ θεόῤῥυτος χάρις,
Λάμποντες, ἀστράπτοντες, ἠλλοιωμένοι,
Ὀθνείαν ἀλλοίωσιν εὐπρεπεστάτην,
Ἰσοσθενοῦσαν τὴν ἄτμητον εἰδότες,
Σοφὴν τρίφεγγον οὐσίαν δοξάζομεν.

### Καταβασία. Ὠδὴ θ΄. Ἦχος βαρύς.

Μὴ τῆς φθορᾶς διαπείρᾳ * κυοφορήσασα * καὶ παντεχνήμονι Λόγῳ * σάρκα δανείσασα, * Μῆτερ ἀπείρανδρε, * Παρθένε Θεοτόκε, * δοχεῖον τοῦ ἀστέκτου, * χωρίον τοῦ ἀπείρου * πλαστουργοῦ σου, σὲ μεγαλύνομεν.

### Ἰαμβική. Ἦχος δ΄.

Χαίροις, ἄνασσα, * μητροπάρθενον κλέος·
Ἅπαν γὰρ εὐδίνητον * εὔλαλον στόμα
Ῥητρεῦον οὐ σθένει σε * μέλπειν ἀξίως·
Ἰλιγγιᾷ δὲ νοῦς * ἅπας σου τὸν τόκον
Νοεῖν· ὅθεν σε * ***συμφώνως δοξάζομεν.***

*

***Εἶτα, συναπτὴ μικρὰ ὑπὸ τοῦ διακόνου, τοῦ χοροῦ ψάλλοντος μεθ' ἑκάστην δέησιν τὸ Κύριε, ἐλέησον.***

*Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.*

*Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.*

*Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας (***Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς***) μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.*

Ὁ χορός· **Σοί, Κύριε.**

Ὁ ἱερεὺς ἐκφώνως·

***Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν***, *καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν.**

*

## ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ Ἦχος β΄.

### Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τὸ πανάγιον Πνεῦμα, τὸ προϊὸν ἐκ τοῦ Πατρός, καὶ δι' Υἱοῦ ἐνδημῆσαν, τοῖς ἀγραμμάτοις Μαθηταῖς, τοὺς σὲ Θεὸν ἐπιγνόντας, σῶσον, ἁγίασον πάντας. **(δίς)**

### Ἕτερον. Ἦχος ὁ αὐτός.

Φῶς ὁ Πατήρ, φῶς ὁ Λόγος, φῶς καὶ τὸ ἅγιον Πνεῦμα, ὅπερ ἐν γλώσσαις πυρίναις, τοῖς Ἀποστόλοις ἐπέμφθη· καὶ δι' αὐτοῦ πᾶς ὁ κόσμος φωταγωγεῖται, *Τριάδα σέβειν ἁγίαν.*

*

## ΑΙΝΟΙ Ἦχος δ΄.

*

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.
Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

*

*Δυστυχῶς, στοὺς ἐνοριακοὺς ναοὺς σήμερα, κατὰ κανόνα, ἡ Στιχολογία τῶν Αἴνων, χάριν συντομίας,* ***παραλείπεται****. Ἔτσι, μετὰ τὸ Πασαπνοάριο, ψάλλονται τὰ Στιχηρὰ τῶν Αἴνων.*

*

Ἡ Στιχολογία (Ψαλμοὶ ρμη΄, ρμθ΄, ρν΄). Ψαλμὸς ρμη΄ (148).

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη· αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.
Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.
Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.
Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.
Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.
Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.
Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι.
Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.
Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ γῆς.
Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.
Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.
Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

Ψαλμὸς ρμθ΄ (149).

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινὸν ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.
Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.
Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.
Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.
Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.
Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν,
Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς,
Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.
Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Ψαλμὸς ρν´ (150).

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Ψαλμὸς ρν´ (150).

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

*

*Ἀπὸ τοῦ ἑπομένου στίχου ἐπισυνάπτονται τὰ στιχηρά.*

*

**Ἱστῶμεν στίχους δ´, καὶ ψάλλομεν τὰ παρόντα Στιχηρὰ Ἰδιόμελα δευτεροῦντες τὸ α´. Ἦχος δ´.**

*Στίχ. α´. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.*

Παράδοξα σήμερον, εἶδον τὰ ἔθνη πάντα ἐν πόλει Δαυῒδ, ὅτε τὸ Πνεῦμα κατῆλθε τὸ ἅγιον ἐν πυρίναις γλώσσαις, καθὼς ὁ θεηγόρος Λουκᾶς ἀπεφθέγξατο. Φησὶ γάρ· Συνηγμένων τῶν Μαθητῶν τοῦ Χριστοῦ, ἐγένετο ἦχος, καθάπερ φερομένης βιαίας πνοῆς, καὶ ἐπλήρωσε τὸν οἶκον, οὗ ἦσαν καθήμενοι· καὶ πάντες ἤρξαντο φθέγγεσθαι, ξένοις ῥήμασι, ξένοις δόγμασι, ξένοις διδάγμασι, τῆς ἁγίας Τριάδος.

*Στίχ. β´. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.*

**Παράδοξα σήμερον, …**

*Στίχ. γ´. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.*

Τὸ Πνεῦμα τὸ ἅγιον, ἦν μὲν ἀεί, καὶ ἔστι καὶ ἔσται, οὔτε ἀρξάμενον, οὔτε παυσόμενον, ἀλλ᾽ ἀεὶ Πατρὶ καὶ Υἱῷ συντεταγμένον, καὶ συναριθμούμενον· ζωή, καὶ ζωοποιοῦν· φῶς καὶ φωτὸς χορηγόν· αὐτάγαθον, καὶ πηγὴ ἀγαθότητος· δι᾽ οὗ Πατὴρ γνωρίζεται, καὶ Υἱὸς δοξάζεται, καὶ παρὰ πάντων γινώσκεται, μία δύναμις, μία σύνταξις, μία προσκύνησις, τῆς ἁγίας Τριάδος.

*Στίχ. δ´. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.*

Τὸ Πνεῦμα τὸ ἅγιον, φῶς, καὶ ζωή, καὶ ζῶσα πηγὴ νοερά. Πνεῦμα σοφίας, Πνεῦμα συνέσεως· ἀγαθόν, εὐθές, νοερόν, ἡγεμονεῦον, καθαῖρον τὰ πταίσματα. Θεὸς καὶ θεοποιοῦν· πῦρ, ἐκ πυρὸς προϊόν, λαλοῦν, ἐνεργοῦν, διαιροῦν τὰ χαρίσματα· δι᾽ οὗ Προφῆται ἅπαντες, καὶ Θεοῦ Ἀπόστολοι, μετὰ Μαρτύρων ἐστέφθησαν. Ξένον ἄκουσμα, ξένον θέαμα, πῦρ διαιρούμενον εἰς νομὰς χαρισμάτων.

**Δόξα. Καὶ νῦν. Ἦχος πλ. β´.**

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρών, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγός, ἐλθέ, καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, *καὶ σῶσον Ἀγαθὲ τὰς ψυχὰς ἡμῶν.*

*

Καὶ εὐθὺς ψάλλεται **εἰς τὸν ἦχον αυτόν**

*

*Ἐὰν εἶναι Κυριακή, ἡ Δοξολογία ψάλλεται στὸν ἦχο τῆς ἑβδομάδας καὶ ὄχι στὸν ἦχο τοῦ Δοξαστικοῦ· ἐὰν εἶναι ἑορτὴ Ἁγίου στὸν ἦχο τοῦ Δοξαστικοῦ ἢ στὸν ἦχο τοῦ ἀπολυτικίου.*

*

## Η ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. * Δόξα ἐν ὑψίστοις Θεῷ * καὶ ἐπὶ γῆς εἰρήνη, * ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, * εὐλογοῦμέν σε, * προσκυνοῦμέν σε, * δοξολογοῦμέν σε, * εὐχαριστοῦμέν σοι * διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, * ἐπουράνιε Θεέ, * Πάτερ παντοκράτορ· * Κύριε Υἱὲ μονογενές, * Ἰησοῦ Χριστέ, * καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, * ὁ ἀμνὸς τοῦ Θεοῦ, * ὁ Υἱὸς τοῦ Πατρός, * ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, * ἐλέησον ἡμᾶς, * ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, * ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, * καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος ἅγιος, * σὺ εἶ μόνος Κύριος, * Ἰησοῦς Χριστός, * εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε * καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα * καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, * ἐν τῇ ἡμέρᾳ ταύτῃ * ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, * ὁ Θεὸς τῶν πατέρων ἡμῶν, * καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου * εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, * τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, * καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε· * δίδαξόν με τὰ δικαιώματά σου. ***(ἐκ γ´)***

Κύριε, * καταφυγὴ ἐγενήθης ἡμῖν * ἐν γενεᾷ καὶ γενεᾷ. * Ἐγὼ εἶπα· * Κύριε, ἐλέησόν με· * ἴασαι τὴν ψυχήν μου, * ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον· * δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, * ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· * ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου * τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, * ἅγιος ἰσχυρός, * ἅγιος ἀθάνατος· * ἐλέησον ἡμᾶς. (ἐκ γ΄)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος ἀθάνατος· * ἐλέησον ἡμᾶς.

Καὶ πάλιν ἰσχυροτέρᾳ φωνῇ·

Ἅγιος ὁ Θεός, * **ἅ**γιος ἰσχυρός, * **ἅ**γιος ἀθάνατος· * ἐλέησον ἡμᾶς.

Καὶ τὸ ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος πλ. δ΄.

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι᾽ αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, Φιλάνθρωπε, δόξα σοι. *(ἅπαξ)*

*

*Στὸ τέλος τοῦ Ὄρθρου, **ἀπὸ ἦχο α΄ ἕως καὶ δ΄ τὶς Κυριακὲς** ψάλλεται τὸ «**Σήμερον Σωτηρία**», ἐνῷ ἀπὸ ἦχο πλ. α΄ ἕως καὶ πλ. δ΄ τὸ «Ἀναστὰς ἐκ τοῦ μνήματος», τὶς δὲ καθημερινὲς τὸ ἀπολυτίκιο τοῦ Ἁγίου.*

*

* * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * *

# ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Από Βιβλίο «Αναγνώστη» - Σιμωνόπετρας σελίδα 128

*

Ὁ διάκονος: *Εὐλόγησον, Δέσποτα.*

ὁ ἱερεὺς τὴν ἐκφώνησιν· ***Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς*** *καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ ***χορός:*** **Ἀμήν.**

*

## *Η ΛΕΙΤΟΥΡΓΙΑ ΤΩΝ ΚΑΤΗΧΟΥΜΕΝΩΝ*

*

*ὁ ἱερεὺς ἱστάμενος ἐνώπιον τῆς ἁγίας Τραπέζης*

## *ΤΑ ΕΙΡΗΝΙΚΑ*

*Ὁ διάκονος λέγει τὰ εἰρηνικά, τοῦ χοροῦ ψάλλοντος μεθ᾽ ἑκάστην δέησιν τὸ* **Κύριε, ἐλέησον.**

*

*Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.*

*Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν.*

*Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως τοῦ Κυρίου δεηθῶμεν.*

*Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.*

*Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ τοῦ Κυρίου δεηθῶμεν.*

[*Ἐν ταῖς ἱεραῖς μοναῖς προστίθεται·*

*Ὑπὲρ τοῦ πατρὸς ἡμῶν (δεῖνος) ἱερομονάχου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος τοῦ Κυρίου δεηθῶμεν.*]

*Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ καὶ τοῦ κατὰ ξηράν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ τοῦ Κυρίου δεηθῶμεν.*

*Ὑπὲρ τῆς πόλεως (ἢ τῆς ἁγίας μονῆς ἢ τῆς χώρας ἢ τῆς νήσου) ταύτης, πάσης (μονῆς) πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς τοῦ Κυρίου δεηθῶμεν.*

*Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν τοῦ Κυρίου δεηθῶμεν.*

*Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν τοῦ Κυρίου δεηθῶμεν.*

*Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.*

*Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.*

*Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας* (**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**) *μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.*

Ὁ χορός· **Σοί, Κύριε.**

Ὁ ἱερεὺς τὴν εὐχὴν

## *Εὐχὴ Ἀντιφώνου Α΄*

***ὁ ἱερεύς:*** *Κύριε ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος ἀμέτρητον καὶ ἡ φιλανθρωπία ἄφατος· αὐτός, Δέσποτα, κατὰ τὴν εὐσπλαγχνίαν σου, ἐπίβλεψον ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον καὶ ποίησον μεθ᾽ ἡμῶν καὶ τῶν συνευχομένων ἡμῖν πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου.*

καὶ τὴν ἐκφώνησιν·

***Ὅτι πρέπει σοι πᾶσα δόξα****, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν.**

*Ἡ δὲ τῆς λειτουργίας ἀκολουθία γίνεται ταχύτερον, καὶ ψάλλομεν τὰ ἐφεξῆς ἀντίφωνα.*

*

# ΑΝΤΙΦΩΝΑ

*Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τῶν Κανόνων ἡ γ΄ καὶ ἡ Ϛ΄ ᾠδή.*

***Εἰ δὲ μή, τὰ Ἀντίφωνα τῆς ἑορτῆς.***

## Ἀντίφωνον Α΄. Ἦχος β΄. Ψαλμὸς ιη΄ (18).

*Στίχ. α΄. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.* (ιη΄ 2)

**Ταῖς πρεσβείαις τῆς Θεοτόκου, * Σῶτερ, σῶσον ἡμᾶς.**

*Στίχ. β΄. Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν.* (ιη΄ 3)

**Ταῖς πρεσβείαις τῆς Θεοτόκου, * Σῶτερ, σῶσον ἡμᾶς.**

*Στίχ. γ΄. Οὔκ εἰσι λαλιαὶ οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν.* (ιη΄ 4)

**Ταῖς πρεσβείαις τῆς Θεοτόκου, * Σῶτερ, σῶσον ἡμᾶς.**

*Στίχ. δ΄. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.* (ιη΄ 5)

**Ταῖς πρεσβείαις τῆς Θεοτόκου, * Σῶτερ, σῶσον ἡμᾶς.**

**Δόξα** Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
**Καὶ νῦν** καὶ ἀεὶ καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Ταῖς πρεσβείαις τῆς Θεοτόκου, * Σῶτερ, σῶσον ἡμᾶς.**

Ὁ διάκονος λέγει τὴν μικρὰν συναπτήν·

*Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.*

*Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.*

*Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας* (**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**) *μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.*

Ὁ χορός· **Σοί, Κύριε.**

Ὁ ἱερεὺς τὴν εὐχὴν

### *Εὐχὴ Ἀντιφώνου Β΄*

***ὁ ἱερεὺς:*** *Κύριε ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ.*

καὶ τὴν ἐκφώνησιν·

***Ὅτι σὸν τὸ κράτος**, καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν**.

## Ἀντίφωνον Β΄. Ἦχος β΄. Ψαλμὸς ιθ΄ (19).

*Στίχ. α΄. Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ.* (ιθ΄ 2)

Σῶσον ἡμᾶς, **Παράκλητε ἀγαθέ,** * ψάλλοντάς σοι, Ἀλληλούϊα.

*Στίχ. β΄. Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου.* (ιθ΄ 3)

Σῶσον ἡμᾶς, **Παράκλητε ἀγαθέ,** * ψάλλοντάς σοι, Ἀλληλούϊα.

*Στίχ. γ΄. Μνησθείη πάσης θυσίας σου καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω.* (ιθ΄ 4)

Σῶσον ἡμᾶς, **Παράκλητε ἀγαθέ,** * ψάλλοντάς σοι, Ἀλληλούϊα.

*Στίχ. δ΄. Δῴη σοι Κύριος κατὰ τὴν καρδίαν σου καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι.* (ιθ΄ 5)

Σῶσον ἡμᾶς, **Παράκλητε ἀγαθέ,** * ψάλλοντάς σοι, Ἀλληλούϊα.

**Δόξα** Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
**Καὶ νῦν** καὶ ἀεὶ καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, * ἀθάνατος ὑπάρχων * καὶ καταδεξάμενος * διὰ τὴν ἡμετέραν σωτηρίαν * σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου * καὶ ἀειπαρθένου Μαρίας, * ἀτρέπτως ἐνανθρωπήσας, * σταυρωθείς τε, Χριστὲ ὁ Θεός, * θανάτῳ θάνατον πατήσας, * εἷς ὢν τῆς ἁγίας Τριάδος, * συνδοξαζόμενος τῷ Πατρὶ * καὶ τῷ ἁγίῳ Πνεύματι, * σῶσον ἡμᾶς.

Ὁ διάκονος λέγει τὴν μικρὰν συναπτήν·

*Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.*

*Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.*

*Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας* (**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**) *μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.*

Ὁ χορός· **Σοί, Κύριε.**

***Ὁ ἱερεὺς τὴν εὐχὴν***

### *Εὐχὴ Ἀντιφώνου Γ΄*

***ὁ ἱερεὺς:*** *Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχάς, ὁ καὶ δυσὶ καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος, αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος.*

***καὶ τὴν ἐκφώνησιν·***

***Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις***, *καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν**.

## Ἀντίφωνον Γ΄. Ἦχος πλ. δ΄. Ψαλμός κ΄ (20).

*Στίχ. α΄. Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεὺς καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα. (κ΄ 2)*

Καὶ τὸ ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος πλ. δ΄.

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι᾽ αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, Φιλάνθρωπε, δόξα σοι.

Στίχ. β΄. Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν. (κ΄ 3)

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ...

Στίχ. γ΄. Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος, ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου. (κ΄ 4)

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ...

***Ἐνῶ ψάλλεται τὸ Γ΄ Ἀντίφωνο καὶ τὸ Ἀπολυτίκιο, γίνεται ἡ Εἴσοδος τοῦ Εὐαγγελίου.***

*Ἱερεύς: Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

*Διάκονος: Εὐλόγησον, Δέσποτα, τὴν ἁγίαν εἴσοδον.*

*Ἱερεύς: Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου· πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

*

## ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ Εἰσοδικόν. Ἦχος β΄.

Διάκονος: *Σοφία. Ὀρθοί.*

Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου· * ᾄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου. * (κ΄ 14). Σῶσον ἡμᾶς, **Παράκλητε ἀγαθέ**, * ψάλλοντάς σοι· Ἀλληλούϊα.

*

Τὸ ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος πλ. δ΄.

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι᾽ αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, Φιλάνθρωπε, δόξα σοι.

### Κοντάκιον τῆς ἑορτῆς.

Ἦχος πλ. δ΄. Αὐτόμελον.

Ὅτε καταβὰς * τὰς γλώσσας συνέχεε, * διεμέριζεν ἔθνη ὁ Ὕψιστος· * ὅτε τοῦ πυρὸς * τὰς γλώσσας διένειμεν, * εἰς ἑνότητα πάντας ἐκάλεσε· * καὶ συμφώνως δοξάζομεν * τὸ πανάγιον Πνεῦμα.

*

## ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ

Μετὰ τὸ κοντάκιον ἐκφωνεῖ ὁ διάκονος· *Τοῦ Κυρίου δεηθῶμεν.*

Ὁ χορός· **Κύριε, ἐλέησον.**

Ὁ ἱερεὺς τὴν εὐχὴν *Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν Σεραφεὶμ ἀνυμνούμενος καὶ ὑπὸ τῶν χερουβεὶμ δοξολογούμενος καὶ ὑπὸ πάσης ἐπουρανίου δυνάμεως προσκυνούμενος· ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα· ὁ κτίσας τὸν ἄνθρωπον κατ᾽ εἰκόνα σὴν καὶ ὁμοίωσιν καὶ παντί σου χαρίσματι κατακοσμήσας· ὁ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν καὶ μὴ παρορῶν ἁμαρτάνοντα· ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν· αὐτός, Δέσποτα, πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν Τρισάγιον Ὕμνον καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου· συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον· ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα· καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν Ἁγίων, τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων.*

καὶ τὴν ἐκφώνησιν·

*Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί,*

Ὁ διάκονος· *Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ α΄ χορός· **Ἀμήν**.

Καὶ ψάλλεται **ἀντὶ τοῦ τρισαγίου ὕμνου**, ἀρχομένου τοῦ α΄ χοροῦ.

### Ἦχος πλ. α΄.

**Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, * Χριστὸν ἐνεδύσασθε, Ἀλληλούϊα**. **Ἐκ γ΄**. Εἶτα·

Ὁ β΄ χορός· **Δόξα** Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ὁ α΄ χορός· **Καὶ νῦν** καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ β΄ χορός· Χριστὸν ἐνεδύσασθε, Ἀλληλούϊα.

Ὁ διάκονος· ***Δύναμις.***

Ὁ α΄ χορός· **Δύναμις**. Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε,

Ὁ β΄ χορός· Χριστὸν ἐνεδύσασθε, Ἀλληλούϊα.

*

*Ὅταν συλλειτουργοῦν δύο ἢ περισσότεροι ἱερεῖς, ὁ ὕμνος ψάλλεται **πεντάκις**, ἤτοι δὶς ὑπὸ τῶν χορῶν, ἔπειτα ὑπὸ τῶν ἱερέων, εἶτα ὑπὸ τοῦ α΄ χοροῦ καὶ πάλιν ὑπὸ τῶν ἱερέων· καὶ μετὰ τοῦτο ὁ β΄ χορός· Δόξα Πατρὶ κτλ. ὡς ἀνωτέρω.*

Καὶ μετὰ ταῦτα τὸν Ἀπόστολον.

*

## ΑΠΟΣΤΟΛΟΣ Τῆς Ἑορτῆς (Πρξ. β΄ 1-11)

Προκείμενον τοῦ ἀποστόλου καὶ ἀλληλούϊα τῆς ἡμέρας.

Προκείμενον. Ἦχος πλ. δ΄. (Ψαλμὸς ιη΄).

***ὁ Ἀναγνώστης***

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. (ιη΄ 5)

***Διάκονος Πρόσχωμεν!.. Σοφία. Πρόσχωμεν!***

*Στίχ. α΄.* Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλει τὸ στερέωμα. (ιη΄ 2)

***Διάκονος Σοφία.***

Στίχ. β΄. Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. (ιη΄ 4)

## Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

*Διάκονος* ***Π****ρόσχωμεν!.. Σοφία.* ***Π****ρόσχωμεν!*

*Ὁ Ἀναγνώστης ἀναγινώσκει ἐμμελῶς τὴν ἀποστολικὴν περικοπήν.*

Ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς ἦσαν ἅπαντες οἱ ἀπόστολοι ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτό. **Καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον οὗ ἦσαν καθήμενοι·** καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι **γλῶσσαι ὡσεὶ πυρός**, ἐκάθισέ τε ἐφ᾽ ἕνα ἕκαστον αὐτῶν, καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος Ἁγίου, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι. **Ἦσαν δὲ ἐν Ἱερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι, ἄνδρες εὐλαβεῖς ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν·** γενομένης δὲ τῆς φωνῆς ταύτης συνῆλθε τὸ πλῆθος καὶ συνεχύθη, ὅτι ἤκουον εἷς ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν. Ἐξίσταντο δὲ πάντες καὶ ἐθαύμαζον λέγοντες πρὸς ἀλλήλους· Οὐκ ἰδοὺ πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι; **Καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν ἐν ᾗ ἐγεννήθημεν,** Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν, Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, καὶ οἱ ἐπιδημοῦντες Ῥωμαῖοι, Ἰουδαῖοί τε καὶ προσήλυτοι, Κρῆτες καὶ Ἄραβες, ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ;

*Ἱερεὺς* *Εἰρήνη σοι.*

*ὁ Ἀναγνώστης* **Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα.**

Στίχ. α΄. Τῷ λόγῳ τοῦ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. (λβ΄ 6)
Στίχ. β΄. Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος ἐπὶ τὴν γῆν, εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων. (λβ΄ 13)
Στίχ. γ΄. Ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν. (λβ΄ 14)
Στίχ. δ΄. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. (λβ΄ 22)

*

Ὁ διάκονος· *Τοῦ Κυρίου δεηθῶμεν.*

*Ὁ ἱερεύς·:* *Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Δέσποτα, τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμοὺς εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας πάσας καταπατήσαντες πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σὴν καὶ φρονοῦντες καὶ πράττοντες. Σὺ γὰρ εἶ ὁ φωτισμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

*

## ΕΥΑΓΓΕΛΙΟΝ

*

Ὁ ἱερεύς· *Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσι.*

Ὁ λαός· **Καὶ τῷ πνεύματί σου.**

Ὁ διάκονος· *Ἐκ τοῦ κατὰ* ***Ἰωάννην*** *ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.*

Ὁ λαός· **Δόξα σοι, Κύριε, δόξα σοι.**

Ὁ ἱερεύς· *Πρόσχωμεν.*

Καὶ ὁ διάκονος ἀναγινώσκει τὸ Εὐαγγέλιον.
Ἐκ τοῦ κατὰ **Ἰωάννην** *(ζ΄ 37-52, η΄ 12).*

*Ὁ Διάκονος ἀναγινώσκει ἐμμελῶς τὴν περικοπὴν τοῦ ἁγίου Εὐαγγελίου.*

Τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς ἑορτῆς εἱστήκει ὁ Ἰησοῦς καὶ ἔκραξε λέγων· **Ἐάν τις διψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω. Ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος.** Τοῦτο δὲ εἶπε περὶ τοῦ Πνεύματος οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύσαντες εἰς αὐτόν· οὔπω γὰρ ἦν Πνεῦμα Ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη. Πολλοὶ οὖν ἐκ τοῦ ὄχλου ἀκούσαντες τὸν λόγον ἔλεγον· Οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης· ἄλλοι ἔλεγον· Οὗτός ἐστιν ὁ Χριστός· ἄλλοι δὲ ἔλεγον· **Μὴ γὰρ ἐκ τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρχεται;** Οὐχὶ ἡ γραφὴ εἶπεν ὅτι ἐκ τοῦ σπέρματος Δαυῒδ καὶ ἀπὸ Βηθλεὲμ τῆς κώμης, ὅπου ἦν Δαυΐδ, ὁ Χριστὸς ἔρχεται; Σχίσμα οὖν ἐν τῷ ὄχλῳ ἐγένετο δι᾽ αὐτόν. Τινὲς δὲ ἤθελον ἐξ αὐτῶν πιάσαι αὐτόν, ἀλλ᾽ οὐδεὶς ἐπέβαλεν ἐπ᾽ αὐτὸν τὰς χεῖρας. Ἦλθον οὖν οἱ ὑπηρέται πρὸς τοὺς ἀρχιερεῖς καὶ Φαρισαίους, καὶ εἶπον αὐτοῖς ἐκεῖνοι· Διατί οὐκ ἠγάγετε αὐτόν; Ἀπεκρίθησαν οἱ ὑπηρέται· **Οὐδέποτε οὕτως ἐλάλησεν ἄνθρωπος, ὡς οὗτος ὁ ἄνθρωπος.** Ἀπεκρίθησαν οὖν αὐτοῖς οἱ Φαρισαῖοι· Μὴ καὶ ὑμεῖς πεπλάνησθε; Μή τις ἐκ τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτὸν ἢ ἐκ τῶν Φαρισαίων; Ἀλλ᾽ ὁ ὄχλος οὗτος ὁ μὴ γινώσκων τὸν νόμον ἐπικατάρατοί εἰσι! λέγει Νικόδημος πρὸς αὐτούς, ὁ ἐλθὼν νυκτὸς πρὸς αὐτὸν, εἷς ὢν ἐξ αὐτῶν· Μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ παρ᾽ αὐτοῦ πρότερον καὶ γνῷ τί ποιεῖ; Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· Μὴ καὶ σὺ ἐκ τῆς Γαλιλαίας εἶ; **Ἐρεύνησον καὶ ἴδε ὅτι προφήτης ἐκ τῆς Γαλιλαίας οὐκ ἐγήγερται.** Πάλιν οὖν αὐτοῖς ὁ Ἰησοῦς ἐλάλησε λέγων· **Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ᾽ ἕξει τὸ φῶς τῆς ζωῆς.**

Ὁ λαός· **Δόξα σοι, Κύριε, δόξα σοι.**

*

## Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ ἱεροῦ Χρυσοστόμου.

*

*Δυστυχῶς, στοὺς ἐνοριακοὺς ναοὺς σήμερα, κατὰ κανόνα, ἡ Εκτενής Δέηση, η Δέηση υπέρ των κατηχουμένων και η Δέηση των Πιστών συχνά* ***παραλείπονται.*** *Ἔτσι, μετὰ την ανάγνωση του Ευαγγελίου ὁ ιερέας εκφωνεί αμέσως το* ***Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι…,*** *και άρχεται ο Χερουβικός Ὕμνος.*

*

## Η ΕΚΤΕΝΗΣ ΔΕΗΣΙΣ

Εἶτα ὁ διάκονος (ἢ ὁ ἱερεὺς) τὴν ἐκτενῆ δέησιν, ὁ δὲ λαὸς εἰς ἑκάστην δέησιν τὸ **Κύριε, ἐλέησον (τρίς),** εἰς δὲ τὴν τελευταίαν ἅπαξ.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

**Ὁ χορός· Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.**

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

**Ὁ χορός· Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.**

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

**Ὁ χορός· Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.**

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

**Ὁ χορός· Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.**

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

**Ὁ χορός· Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.**

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τῆς ἁγίας ἐκκλησίας ταύτης.

**Ὁ χορός· Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.**

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τοῦ ἁγίου ναοῦ τούτου (τῆς ἁγίας μονῆς ταύτης) καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων.

**Ὁ χορός· Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.**

Ἔτι δεόμεθα καὶ ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

**Ὁ χορός· Κύριε, ἐλέησον**

Ὁ ἱερεὺς τὴν εὐχὴν

*Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ' ἡμᾶς καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος.*

καὶ τὴν ἐκφώνησιν·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ χορός· Ἀμήν.**

*

## ΔΕΗΣΕΙΣ ΥΠΕΡ ΤΩΝ ΚΑΤΗΧΟΥΜΕΝΩΝ

Ὁ διάκονος λέγει τὰς ὑπὲρ τῶν κατηχουμένων δεήσεις, τοῦ χοροῦ λέγοντος εἰς ἑκάστην **τὸ Κύριε, ἐλέησον.**

Εὔξασθε, οἱ κατηχούμενοι, τῷ Κυρίῳ.

**Ὁ χορός· Κύριε, ἐλέησον**

Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν·

**Ὁ χορός· Κύριε, ἐλέησον**

Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ·

**Ὁ χορός· Κύριε, ἐλέησον**

Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας·

**Ὁ χορός· Κύριε, ἐλέησον**

Ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης·

**Ὁ χορός· Κύριε, ἐλέησον**

Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ.

**Ὁ χορός· Κύριε, ἐλέησον**

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καὶ διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι.

**Ὁ χορός· Κύριε, ἐλέησον**

Οἱ κατηχούμενοι τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

**Ὁ χορός· Σοί, Κύριε.**

Ὁ ἱερεὺς τὴν εὐχὴν

*Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας, τὸν μονογενῆ σου Υἱὸν καὶ Θεόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, τοὺς ὑποκεκλικότας σοι τὸν ἑαυτῶν αὐχένα·* ***καὶ καταξίωσον αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας· ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ καὶ συγκαταρίθμησον αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ.***

καὶ τὴν ἐκφώνησιν·

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ χορός· Ἀμήν.**

*Καὶ ὁ ἱερεὺς ποιήσας διὰ τοῦ ἱ. Εὐαγγελίου σταυρὸν ἐπὶ τοῦ εἰλητοῦ ἀποθέτει αὐτὸ εἰς τὸ ἄνω μέρος τῆς ἁγίας Τραπέζης καὶ ἐξαπλοῖ τὸ εἰλητόν.*

Ὁ δὲ διάκονος λέγει·

Ὅσοι κατηχούμενοι προέλθετε· οἱ κατηχούμενοι προέλθετε· ὅσοι κατηχούμενοι προέλθετε· μή τις τῶν κατηχουμένων.

*

## ΔΕΗΣΕΙΣ ΤΩΝ ΠΙΣΤΩΝ

Ὁ διάκονος· Ὅσοι πιστοί, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

**Ὁ χορός· Κύριε, ἐλέησον.**

Ὁ διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

**Ὁ χορός· Κύριε, ἐλέησον.**

Ὁ διάκονος· Σοφία.

Ὁ ἱερεὺς τὴν εὐχὴν

*Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Πρόσδεξαι ὁ Θεὸς τὴν δέησιν ἡμῶν· ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις καὶ ἱκεσίας καὶ θυσίας ἀναιμάκτους ὑπὲρ παντὸς τοῦ λαοῦ σου καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν διακονίαν σου ταύτην ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ Ἁγίου, ἀκαταγνώστως καὶ ἀπροσκόπτως, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν, ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ καὶ τόπῳ, ἵνα εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν εἴης ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος.*

καὶ τὴν ἐκφώνησιν·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ χορός· Ἀμήν.**

Καὶ πάλιν ὁ διάκονος·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

**Ὁ χορός· Κύριε, ἐλέησον.**

Ὁ διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

**Ὁ χορός· Κύριε, ἐλέησον.**

Ὁ διάκονος· Σοφία.

Καὶ εἰσέρχεται εἰς τὸ Ἱερόν.

**Ὁ ἱερεὺς τὴν εὐχὴν:** ***Πάλιν καὶ πολλάκις*** *σοὶ προσπίπτομεν καὶ σοῦ δεόμεθα, ἀγαθὲ καὶ φιλάνθρωπε, ὅπως ἐπιβλέψας ἐπὶ*

*τὴν δέησιν ἡμῶν, καθαρίσῃς ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος καὶ δῴης ἡμῖν ἀνένοχον καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ ἁγίου σου θυσιαστηρίου. Χάρισαι δέ, ὁ Θεός, καὶ τοῖς συνευχομένοις ἡμῖν προκοπὴν βίου καὶ πίστεως καὶ συνέσεως πνευματικῆς· δὸς αὐτοῖς πάντοτε μετὰ φόβου καὶ ἀγάπης λατρεύειν σοι, ἀνενόχως καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου μυστηρίων καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι.*

**καὶ τὴν ἐκφώνησιν·**

*Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν**.

*

## Και Ψάλλεται ὁ χερουβικὸς ὕμνος·

*

***Ενώ Ὁ ἱερεὺς· λέγει δὲ καθ᾿ ἑαυτόν μυστικώς την Ευχή Χερουβικού ύμνου***

***Ουδείς άξιος των συνδεδεμένων*** *ταις σαρκικαίς επιθυμίαις και ηδοναίς προσέρχεσθαι ή προσεγγίζειν ή λειτουργείν σοι, Βασιλεύ της δόξης· το γαρ διακονείν σοι μέγα και φοβερόν και αυταίς ταις επουρανίαις δυνάμεσιν. Αλλ όμως, δια την άφατον και αμέτρητόν σου φιλανθρωπίαν, ατρέπτως και αναλλοιώτως γέγονας άνθρωπος και αρχιερεύς ημών εχρημάτισας και της λειτουργικής ταύτης και αναιμάκτου θυσίας την ιερουργίαν παράδωκας ημίν, ως Δεσπότης των απάντων. Συ γαρ μόνος, Κύριε ο Θεός ημών, δεσπόζεις των επουρανίων και των επιγείων, ο επί θρόνου χερουβικού εποχούμενος, ο των Σεραφείμ Κύριος και βασιλεύς του Ισραήλ, ο μόνος άγιος και εν αγίοις αναπαυόμενος. Σε τοίνυν δυσωπώ τον μόνον αγαθόν και ευήκοον· επίβλεψον επ εμέ τον αμαρτωλόν και αχρείον δούλόν σου, και καθάρισόν μου την ψυχήν και την καρδίαν από συνειδήσεως πονηράς· και ικάνωσόν με τη δυνάμει του Αγίου σου Πνεύματος, ενδεδυμένον την της ιερατείας χάριν, παραστήναι τη αγία σου ταύτη τραπέζη και ιερουργήσαι το άγιον και άχραντον σώμά σου και το τίμιον αίμα. Σοί γαρ προσέρχομαι κλίνας τον εμαυτού αυχένα και δέομαί σου· μη αποστρέψης το πρόσωπόν σου απ εμού, μηδέ αποδοκιμάσης με εκ παίδων σου, αλλ αξίωσον προσενεχθήναί σοι υπ εμού του αμαρτωλού και αναξίου δούλου σου τα δώρα ταύτα. Συ γαρ ει ο προσφέρων και προσφερόμενος και προσδεχόμενος και διαδιδόμενος, Χριστέ ο Θεός ημών, και σοί την δόξαν αναπέμπομεν, συν τω ανάρχω σου Πατρί και τω παναγίω και αγαθώ και ζωοποιώ σου Πνεύματι, νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.*

*Νίψωμαι εν αθώοις τας χείράς μου και κυκλώσω το θυσιαστήριόν σου, Κύριε, του ακούσαί με φωνής αινέσεώς σου και διηγήσωμαι πάντα τα θαυμάσιά σου· Κύριε, ηγάπησα ευπρέπειαν οίκου σου και τόπον σκηνώματος δόξης σου. Μη συναπολέσης μετά ασεβών την ψυχήν μου και μετά ανδρών αιμάτων την ζωήν μου, ων εν χερσίν αι ανομίαι· η δεξιά αυτών επλήσθη δώρων, εγώ δε εν ακακία μου επορεύθην· λύτρωσαί με, Κύριε, και ελέησόν με. Ο πούς μου έστη εν ευθύτητι, εν εκκλησίαις ευλογήσω, Κύριε.*

*Μετὰ τὴν εὐχὴν λέγουσιν αὐτός καὶ ὁ διάκονος τὸν Χερουβικὸν ὕμνον. Εἶτα, λαβὼν ὁ ἱερεὺς τὸ θυμιατήριον, θυμιᾷ κύκλῳ τὴν ἁγίαν Τράπεζαν, τὸ ἱερατεῖον καὶ τὰς δεσποτικὰς εἰκόνας καὶ τὸν λαόν, μικρὸν προελθὼν τῶν βημοθύρων·* ***λέγει δὲ καθ᾿ ἑαυτόν, εἰ μέν ἐστι Κυριακή, τὸ «Ἀνάστασιν Χριστοῦ θεασάμενοι» καὶ τὸν ν΄ ψαλμόν·*** *εἰ δὲ οὔ, λέγει τὸ «Δεῦτε προσκυνήσωμεν» (γ΄), καὶ εἶτα τὸν ν΄ ψαλμόν. Εἶτα οἱ ἱερουργοῦντες, προσκυνοῦντες τρὶς πρὸ τῆς ἁγίας Τραπέζης καὶ ἀσπαζόμενοι τὸ ἅγιον ἀντιμήνσιον λέγουσι καθ᾿ ἑαυτοὺς τὰ κατανυκτικὰ ταῦτα τροπάρια:*

*Αδελφοί, συγχωρήσατέ μοι τω αμαρτωλώ.*

*Τοις μισούσι και τοις αγαπώσιν ημάς συγχώρησον, Κύριε.*

*Ο Θεός, ο Θεός ημών, ο τον ουράνιον άρτον, την τροφήν του παντός κόσμου, τον Κύριον ημών και Θεόν Ιησούν Χριστόν, εξαποστείλας σωτήρα και λυτρωτήν και ευεργέτην, ευλογούντα και αγιάζοντα ημάς· αυτός ευλόγησον την πρόθεσιν ταύτην και πρόσδεξαι αυτήν εις το υπερουράνιόν σου θυσιαστήριον· μνημόνευσον, ως αγαθός και φιλάνθρωπος, των προσενεγκόντων και δι ους προσήγαγον και ημάς ακατακρίτους διαφύλαξον εν τη ιερουργία των θείων σου μυστηρίων. Ότι ηγίασται και δεδόξασται το πάντιμον και μεγαλοπρεπές όνομά σου, του Πατρός και του Υιού και του Αγίου Πνεύματος, νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.*

*

## Η ΕΙΣΟΔΟΣ ΤΩΝ ΤΙΜΙΩΝ ΔΩΡΩΝ

Ψάλλεται ὁ χερουβικὸς ὕμνος· Ἦχος α΄. Ὁ α΄ χορός·

**Οἱ** τὰ Χερουβὶμ μ υ σ τ ι κ ῶ ς εἰκονίζοντες * καὶ τῇ ζωοποιῷ **Τριάδι** * τὸν τρισάγιον ὕμνον προσᾴδοντες, * πᾶσαν νῦν βιοτικὴν ἀποθώμεθα μέριμναν, *

***Ὁ β΄ χορός· συνεχίζει:***

**Ὡς** τὸν βασιλέα τῶν ὅλων ὑποδεξόμενοι, *

*

## Εδώ γίνεται η ΜΕΓΑΛΗ ΕΙΣΟΔΟΣ

*

**Διάκονος:** ***Π****άντων ἡμῶν (καὶ πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν) μνησθεὶ Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

**Ὁ Χορὸς: Ἀμήν**.

**Ὁ Ἱερεὺς** ***Π****άντων τῶν ἐπ᾿ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου κεκοιμημένων μνησθεὶ Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ· πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

**Ὁ Χορὸς** **Ἀμήν.**

**Ὁ Ἱερεὺς** *Τοῦ ἀρχιεπισκόπου ἡμῶν (...) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. Τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ. Τοῦ κατὰ ξηράν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ. Τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει (ἢ κώμῃ, ἢ νήσῳ) ταύτῃ, τῶν ἐνοριτῶν ἐπιτρόπων, , συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἱεροῦ Ναοῦ τούτου καὶ πάντων ἡμῶν τῶν προσελθόντων εἰς τὴν θείαν Μυσταγωγίαν ταύτην.*

*Τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων, ἀνακαινιστῶν καὶ ἀφιερωτῶν τοῦ ἱεροῦ Ναοῦ τούτου, τῶν ὑπὲρ πίστεως καὶ πατρίδος ἀγωνισαμένων καὶ πεσόντων καὶ πάντων τῶν ἐπ᾿ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου, κεκοιμημένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, μνησθεὶ Κύριος ὁ Θεὸς ἐν τῇ Βασιλείᾳ αὐτοῦ πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

***ΜΕΤΑ ΤΗ ΜΕΓΑΛΗ ΕΙΣΟΔΟ ο χορός ολοκληρώνει τον Ύμνον***

*

**Ὁ Χορὸς** **Ἀμήν.**

**Ὁ Χορὸς** **Ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. * Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.**

## ΤΑ ΠΛΗΡΩΤΙΚΑ

Πληρωθέντος τοῦ Χερουβικοῦ ὕμνου λέγει ὁ διάκονος·

***Π****ληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.*

Ὁ χορός· **Κύριε, ἐλέησον.**

Ὁμοίως καὶ εἰς τὰς ἐφεξῆς δεήσεις.

***Υ****πὲρ τῶν προτεθέντων τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν.*

Ὁ χορός· **Κύριε, ἐλέησον.**

***Υ****πὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.*

Ὁ χορός· **Κύριε, ἐλέησον.**

***Υ****πὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.*

Ὁ χορός· **Κύριε, ἐλέησον.**

***Ἀ****ντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.*

Ὁ χορός· **Κύριε, ἐλέησον.**

***Τ****ὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.*

*Ὁ χορός·* ***Παράσχου, Κύριε.***

*Ὁμοίως καὶ εἰς τὰς ἐφεξῆς δεήσεις.*

*Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.*

Ὁ χορός· **Παράσχου, Κύριε.**

*Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.*

Ὁ χορός· **Παράσχου, Κύριε.**

*Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.*

Ὁ χορός· **Παράσχου, Κύριε.**

*Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.*

Ὁ χορός· **Παράσχου, Κύριε.**

*Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν, τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.*

Ὁ χορός· **Παράσχου, Κύριε.**

*Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, (**Ὑπεραγία Θεοτόκε σῶσον ἡμάς**), μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.*

Ὁ χορός· **Σοί, Κύριε.**

*Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς προσκομιδῆς*

*Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ μόνος ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν καὶ προσάγαγε τῷ ἁγίῳ σου θυσιαστηρίῳ· καὶ ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι δῶρά τε καὶ θυσίας πνευματικὰς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου, τοῦ γενέσθαι σοι εὐπρόσδεκτον τὴν θυσίαν ἡμῶν, καὶ ἐπισκηνῶσαι τὸ Πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθὸν ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα καὶ ἐπὶ πάντα τὸν λαόν σου.*

**καὶ τὴν ἐκφώνησιν·**

*Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν**.

*

## ΑΣΠΑΣΜΟΣ ΚΑΙ ΟΜΟΛΟΓΙΑ

Ὁ ἱερεύς· *Εἰρήνη πᾶσι.*

Ὁ χορός· **Καὶ τῷ πνεύματί σου.**

Ὁ διάκονος· *Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.*

Ὁ χορός· **Πατέρα, Υἱὸν * καὶ ἅγιον Πνεῦμα, * Τριάδα ὁμοούσιον * καὶ ἀχώριστον.**

***ἢ σε συλλείτουργο ιερέων:***

***Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου, Κύριος στερέωμά μου, καὶ καταφυγή μου, καὶ ῥύστης μου.***

*Ὁ ἱερεὺς προσκυνήσας τρὶς ἀσπάζεται τὰ Ἅγια οὕτως, ὥς εἰσιν ἐπικεκαλυμμένα, λέγων μυστικῶς:*
***Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου, Κύριος στερέωμά μου, καὶ καταφυγή μου καὶ ῥύστης μου (τρίς).***
*Ἐνταῦθα γίνεται ὁ ἀσπασμὸς τῆς ἀγάπης καὶ τῆς εἰρήνης μεταξὺ **τῶν ἐν τῷ Βήματι Κληρικῶν**, τοῦ προεξάρχοντος λέγοντος: **Ὁ Χριστὸς ἐν μέσῳ ἡμῶν**, καὶ τῶν λοιπῶν ἀποκρινομένων: **Καὶ ἔστι καὶ ἔσται**. Εἶναι δὲ λείψανον τοῦ μεταξὺ ὅλων τῶν ἐκκλησιαζομένων διδομένου τοιούτου ἐν τῇ παλαιοχριστιανικῇ ἐποχῇ.*
*Ὁμοίως καὶ ὁ διάκονος συμπροσκυνεῖ. Ἐνταῦθα γίνεται κατὰ τὴν τάξιν ὁ ἀσπασμός. Ὁ πρῶτος τῶν ἱερέων:*
***Ὁ Χριστὸς ἐν τῷ μέσῳ ἡμῶν.***
*Καὶ ἐκεῖνοι: **Καὶ ἦν καὶ ἔστι καὶ ἔσται.***

Ὁ διάκονος· *Τὰς θύρας, τὰς θύρας· ἐν σοφίᾳ πρόσχωμεν.*

*Ὁ ἱερεύς, ἄρας τὸν Ἀέρα ἐπάνω τῶν τιμίων δώρων, κινεῖ αὐτὸν ἀνοικτόν, λέγων καθ' ἑαυτὸν τὸ Πιστεύω.*

Ὁ προεστὼς ἀπαγγέλλει μετὰ τοῦ λαοῦ Τὸ Σύμβολον τῆς πίστεως.

Πιστεύω εἰς **ἕνα** Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς **ἕνα** Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τόν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· **φῶς ἐκ φωτός**, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο. **Τὸν δι' ἡμᾶς** τοὺς ἀνθρώπους καὶ **διὰ τὴν ἡμετέραν** σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα. **Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ** κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. **Καὶ** εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον, τὸ ζωοποιόν, τὸ **ἐκ τοῦ Πατρὸς** ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. **Εἰς μίαν**, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα **εἰς ἄφεσιν ἁμαρτιῶν**. Προσδοκῶ ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

*

## Η ΑΓΙΑ ΑΝΑΦΟΡΑ

Ὁ διάκονος· *Στῶμεν καλῶς· στῶμεν μετὰ φόβου· πρόσχωμεν τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν.*

Ὁ α΄ χορός· **Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.**

Ὁ ἱερεύς·

*Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος εἴη μετὰ πάντων ὑμῶν.*

Ὁ β΄ χορός· **Καὶ μετὰ τοῦ πνεύματός σου.**

Ὁ ἱερεύς· *Ἄνω σχῶμεν τὰς καρδίας.*

Ὁ α΄ χορός· **Ἔχομεν πρὸς τὸν Κύριον.**

Ὁ ἱερεύς· ***Εὐχαριστήσωμεν τῷ Κυρίῳ.***

Ὁ β΄ χορός· **Ἄξιον καὶ δίκαιον.**

Καὶ ὁ ἱερεὺς ἀπάρχεται τῆς ἁγίας ἀναφορᾶς,

*Ἄξιον καὶ δίκαιον σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ αἰνεῖν, σοὶ εὐχαριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου. Σὺ γὰρ εἶ Θεὸς ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὢν ὡσαύτως ὤν· σὺ καὶ ὁ μονογενής σου Υἱὸς καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον. Σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες καὶ παραπεσόντας ἀνέστησας πάλιν καὶ οὐκ ἀπέστης πάντα ποιῶν ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες καὶ τὴν βασιλείαν σου ἐχαρίσω τὴν μέλλουσαν. Ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι καὶ τῷ μονογενεῖ σου Υἱῷ καὶ τῷ Πνεύματί σου τῷ Ἁγίῳ· ὑπὲρ πάντων ὧν ἴσμεν καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν καὶ ἀφανῶν εὐεργεσιῶν, τῶν εἰς ἡμᾶς γεγενημένων. Εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς λειτουργίας ταύτης, ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι κατηξίωσας, καίτοι σοι παρεστήκασι χιλιάδες ἀρχαγγέλων καὶ μυριάδες ἀγγέλων, τὰ Χερουβεὶμ καὶ τὰ Σεραφείμ, ἑξαπτέρυγα, πολυόμματα, μετάρσια, πτερωτά.*

**ἐν τέλει λέγει ἐκφώνως·**

*Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα.*

Ὁ α΄ χορός· **Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ, * πλήρης ὁ οὐρανὸς * καὶ ἡ γῆ τῆς δόξης σου. * Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· * εὐλογημένος ὁ ἐρχόμενος * ἐν ὀνόματι Κυρίου. * Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.**

Ὁ δὲ ἱερεὺς κλινόμενος ἐπεύχεται

*Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων δυνάμεων, Δέσποτα φιλάνθρωπε, βοῶμεν καὶ λέγομεν· Ἅγιος εἶ καὶ πανάγιος, σὺ καὶ ὁ μονογενής σου Υἱὸς καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον. Ἅγιος εἶ καὶ πανάγιος καὶ μεγαλοπρεπὴς ἡ δόξα σου· ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τὸν Υἱόν σου τὸν μονογενῆ δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Ὃς ἐλθὼν καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράντοις καὶ ἀμωμήτοις χερσίν, εὐχαριστήσας καὶ εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών·*

**καὶ εἶτα λέγει ἐκφώνως·**

*Λάβετε, φάγετε· τοῦτό μού ἐστι τὸ Σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν.*

Ὁ χορός· **Ἀμήν**.

Καὶ πάλιν ἐπεύχεται ὁ ἱερεύς, καὶ εἶτα λέγει ἐκφώνως·

*Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ Αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.*

Ὁ χορός· **Ἀμήν**.

Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται

*Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς, καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ σταυροῦ, τοῦ τάφου, τῆς τριημέρου ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας,*

**καὶ εἶτα λέγει ἐκφώνως·**

*Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέροντες κατὰ πάντα καὶ διὰ πάντα.*

Ὁ β΄ χορός· **Σὲ ὑμνοῦμεν, * σὲ εὐλογοῦμεν, * σοὶ εὐχαριστοῦμεν, Κύριε, * καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.**

*Ὁ δὲ ἱερεὺς κλίνας τὴν κεφαλὴν μετὰ πάσης κατανύξεως εὔχεται, σφραγίζει τὰ τίμια δῶρα,*

*Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον λατρείαν, καὶ παρακαλοῦμέν σε καὶ δεόμεθα καὶ ἱκετεύομεν· κατάπεμψον τὸ Πνεῦμά σου τὸ Ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα.*

***Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶμα τοῦ Χριστοῦ σου. Ἀμήν·***

***τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ τίμιον αἷμα τοῦ Χριστοῦ σου. Ἀμήν·***

***μεταβαλὼν τῷ Πνεύματί σου τῷ Ἁγίῳ. Ἀμήν, ἀμήν, ἀμήν.***

*Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ Ἁγίου σου Πνεύματος, εἰς βασιλείας οὐρανῶν πλήρωμα, εἰς παρρησίαν τὴν πρὸς σέ, μὴ εἰς κρῖμα ἢ εἰς κατάκριμα. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, ἐγκρατευτῶν καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει τετελειωμένου.*

*εἶτα ἐπεύχεται καὶ θυμιῶν τρὶς ἐκ γ΄ τὰ ἅγια* ***λέγει ἐκφώνως·***

*Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.*

Ὁ χορὸς τὸν εἱρμὸν τῆς θ΄ ᾠδῆς
τοῦ α΄ κανόνος. Ἦχος βαρύς.

**Μὴ τῆς φθορᾶς διαπείρᾳ * κυοφορήσασα * καὶ παντεχνήμονι Λόγῳ * σάρκα δανείσασα, * Μῆτερ ἀπείρανδρε, * Παρθένε Θεοτόκε, * δοχεῖον τοῦ ἀστέκτου, * χωρίον τοῦ ἀπείρου * πλαστουργοῦ σου, σὲ μεγαλύνομεν.**

Καὶ πάλιν ἐπεύχεται ὁ ἱερεύς,

*Τοῦ ἁγίου Ἰωάννου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τοῦ ἁγίου... οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν Ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός. Καὶ μνήσθητι πάντων τῶν κεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου... καὶ ἀνάπαυσον αὐτούς, ὁ*

*Θεὸς ἡμῶν, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας καὶ παντὸς ἱερατικοῦ τάγματος. Ἔτι προσφερομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῆς οἰκουμένης· ὑπὲρ τῆς ἁγίας, καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας· ὑπὲρ τῶν ἐν ἁγνείᾳ καὶ σεμνῇ πολιτείᾳ διαγόντων· ὑπὲρ τῶν πιστοτάτων καὶ φιλοχρίστων ἡμῶν Βασιλέων, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν. Δὸς αὐτοῖς, Κύριε, εἰρηνικὸν τὸ βασίλειον, ἵνα καὶ ἡμεῖς, ἐν τῇ γαλήνῃ αὐτῶν, ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν, ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.*

**καὶ εἶτα λέγει ἐκφώνως·**

*Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ ἀρχιεπισκόπου ἡμῶν* (**δεῖνος**), *ὃν χάρισαι ταῖς ἁγίαις σου Ἐκκλησίαις ἐν εἰρήνῃ, σῶον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.*

Ὁ χορός· **Κύριε, ἐλέησον.**

Ὁ διάκονος· ***Κ**αὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει, καὶ πάντων καὶ πασῶν.*

Ὁ χορός· **Καὶ πάντων καὶ πασῶν.**

Ὁ ἱερεὺς τὴν εὐχὴν

*Μνήσθητι, Κύριε, τῆς πόλεως, ἐν ᾗ παροικοῦμεν καὶ πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς. Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων ἐν ταῖς ἁγίαις σου Ἐκκλησίαις καὶ μεμνημένων τῶν πενήτων, καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον.*

**καὶ τὴν ἐκφώνησιν·**

***Κ**αὶ δὸς ἡμῖν, ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ, δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν**.

Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν·

***Κ**αὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν.*

Ὁ χορός· **Καὶ μετὰ τοῦ πνεύματός σου.**

*

## ΔΕΗΣΕΙΣ - Η ΚΥΡΙΑΚΗ ΠΡΟΣΕΥΧΗ

Ὁ διάκονος· ***Π**άντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.*

Ὁ χορός· **Κύριε, ἐλέησον.** Ὁμοίως καὶ εἰς τὰς ἐφεξῆς δεήσεις.

***Ὑ**πὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν.*

***Ὅ**πως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος δεηθῶμεν.*

***Τ**ὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.*

Ὁ χορός· **Σοί, Κύριε.**

Ὁ ἱερεὺς τὴν εὐχὴν

*Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν καὶ τὴν ἐλπίδα, Δέσποτα φιλάνθρωπε, καὶ παρακαλοῦμέν σε καὶ δεόμεθα καὶ ἱκετεύομεν· Καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου καὶ φρικτῶν Μυστηρίων ταύτης τῆς ἱερᾶς καὶ πνευματικῆς Τραπέζης μετὰ καθαροῦ συνειδότος, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς Πνεύματος Ἁγίου κοινωνίαν, εἰς βασιλείας οὐρανῶν κληρονομίαν, εἰς παρρησίαν τὴν πρὸς σέ, μὴ εἰς κρῖμα ἢ εἰς κατάκριμα.*

**καὶ τὴν ἐκφώνησιν·**

***Κ**αὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παρρησίας, ἀκατακρίτως τολμᾶν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον Θεὸν Πατέρα καὶ λέγειν·*

Ὁ προεστὼς ἀπαγγέλλει μετὰ τοῦ λαοῦ·

**Π**άτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου· **γενηθήτω τὸ θέλημά σου**, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ ἱερεύς· ***Ὅ**τι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν**.

*

## ΚΕΦΑΛΟΚΛΙΣΙΑ

Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν· ***Ε**ἰρήνη πᾶσι.*

Ὁ χορός· **Καὶ τῷ πνεύματί σου.**

Ὁ διάκονος· ***Τ**ὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.*

Ὁ χορός· **Σοί, Κύριε.**

Ὁ ἱερεὺς κλινόμενος τὴν εὐχὴν

*Εὐχαριστοῦμέν σοι, Βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σου δυνάμει τὰ πάντα δημιουργήσας, καὶ τῷ πλήθει τοῦ ἐλέους*

*σου ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι τὰ πάντα παραγαγών. Αὐτός, Δέσποτα, οὐρανόθεν ἔπιδε ἐπὶ τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς· οὐ γὰρ ἔκλιναν σαρκὶ καὶ αἵματι, ἀλλὰ σοὶ τῷ φοβερῷ Θεῷ. Σὺ οὖν, Δέσποτα, τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον· κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν· τοῖς πλέουσιν σύμπλευσον· τοῖς ὁδοιποροῦσι συνόδευσον· τοὺς νοσοῦντας ἴασαι, ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.*

**καὶ τὴν ἐκφώνησιν·**

*Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν**.

*

## ΥΨΩΣΙΣ - ΚΛΑΣΙΣ - ΜΕΤΑΛΗΨΙΣ

Ὁ ἱερεὺς ἐπεύχεται

*Πρόσχες, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος καὶ ὧδε ἡμῖν ἀοράτως συνὼν καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου σώματός σου καὶ τοῦ τιμίου αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.*

καὶ **προσκυνεῖ τρὶς** λέγων καθ' ἑαυτόν· *Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.*

Εἶτα ὁ διάκονος ἐκφωνεῖ· ***Πρόσχωμεν***.

Καὶ ὁ ἱερεὺς ὑψῶν τὸν ἅγιον Ἄρτον **ἐκφωνεῖ**·

***Τὰ ἅγια τοῖς ἁγίοις.***

Ὁ χορός· **Εἷς ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.**

Καὶ ψάλλει τὸ κοινωνικὸν τῆς ἡμέρας·

*Εἶτα ψάλλει τὸ κοινωνικὸν τῆς ἡμέρας (**εἰς τὸν ἦχον, εἰς ὃν ἐψάλη καὶ τὸ Χερουβικόν**). Τῇ μὲν Κυριακῇ τό: Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. Ἀλληλούϊα. Εἰ δὲ τύχοι Δεσποτικὴ ἢ Θεομητορικὴ ἑορτὴ ἢ ἀπόδοσις αὐτῆς, ψάλλεται τὸ κοινωνικὸν τῆς ἑορτῆς.*

Κοινωνικόν.

**Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Ἀλληλούϊα.** (Ψαλμ. ρμβ΄ 12)

*

*Περί τοῦ, πῶς δεῖ προσέρχεσθαι τοῖς ἀχράντοις Μυστηρίοις.*
*Εὐχές γιὰ τὴ Θεία Κοινωνία* ΕΥΧΗ Α΄. ΤΟΥ Μ. ΒΑΣΙΛΕΙΟΥ

**Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός ἡμῶν, ἡ πηγή τῆς ζωῆς καί τῆς ἀθανασίας,** ὁ πάσης ὁρατῆς καί ἀοράτου κτίσεως δημιουργός, ὁ τοῦ ἀνάρχου πατρός συναΐδιος Υἱός καί συνάναρχος, ὁ δι' ὑπερβολήν ἀγαθότητος, ἐπ' ἐσχάτων τῶν ἡμερῶν, σάρκα φορέσας, καί σταυρωθείς, καί τυθείς **ὑπέρ τῶν ἀχαρίστων καί ἀγνωμόνων ἡμῶν**, καί τῷ οἰκείῳ σου Αἵματι ἀναπλάσας τήν φθαρεῖσαν ὑπό τῆς ἁμαρτίας φύσιν ἡμῶν· αὐτός ἀθάνατε Βασιλεῦ, πρόσδεξαι κἀμοῦ τοῦ ἁμαρτωλοῦ τήν μετάνοιαν, καί κλῖνον τό οὖς σου ἐπ' ἐμοί, **καί εἰσάκουσον τῶν ρημάτων μου· ἥμαρτον** γάρ, Κύριε, **ἥμαρτον** εἰς τόν οὐρανόν καί ἐνώπιόν σου καί οὐκ εἰμί ἄξιος ἀτενίσαι εἰς τό ὕψος τῆς δόξης σου· **παρώργισα** γάρ σου τήν ἀγαθότητα, τάς σάς ἐντολάς παραβάς, καί μή ὑπακούσας τοῖς σοῖς προστάγμασιν. Ἀλλά σύ, Κύριε, ἀνεξίκακος ὤν, μακρόθυμός τε καί πολυέλεος, οὐ παρέδωκάς με συναπολέσθαι ταῖς ἀνομίαις μου, τήν ἐμήν πάντως ἀναμένων ἐπιστροφήν. Σύ γάρ εἶπας, φιλάνθρωπε, διά τοῦ προφήτου σου, **ὅτι οὐ θελήσει θέλω τόν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τό ἐπιστρέψαι καί ζῆν αὐτόν**· οὐ γάρ βούλει Δέσποτα, τό πλάσμα τῶν σῶν ἀπολέσθαι χειρῶν, οὐδ' εὐδοκεῖς ἐπ' ἀπωλείᾳ ἀνθρώπων, **ἀλλά θέλεις πάντας σωθῆναι, καί εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν**. Διό κἀγώ, εἰ καί ἀνάξιός εἰμι τοῦ οὐρανοῦ καί τῆς γῆς καί αὐτῆς τῆς προσκαίρου ζωῆς, ὅλον ἐμαυτόν ὑποτάξας τῇ ἁμαρτίᾳ· καί ταῖς ἡδοναῖς δουλώσας καί τήν σήν ἀχρειώσας εἰκόνα, ἀλλά ποίημα καί πλάσμα σόν γεγονώς, οὐκ ἀπογινώσκω τήν ἐμαυτοῦ σωτηρίαν ὁ ἄθλιος· τῇ δέ σῇ ἀμετρήτῳ εὐσπλαγχνίᾳ, θαρρήσας προσέρχομαι. Δέξαι οὖν κἀμέ, φιλάνθρωπε Χριστέ, **ὡς τήν πόρνην, ὡς τόν ληστήν, ὡς τόν τελώνην καί ὡς τόν ἄσωτον**· καί ἆρόν μου τό βαρύ φορτίον τῶν ἁμαρτιῶν, ὁ τήν ἁμαρτίαν αἴρων τοῦ κόσμου καί τάς ἀσθενείας τῶν ἀνθρώπων ἰώμενος, ὁ τούς κοπιῶντας καί πεφορτισμένους πρός σεαυτόν καλῶν καί ἀναπαύων· **ὁ μή ἐλθών καλέσαι δικαίους, ἀλλά ἁμαρτωλούς εἰς μετάνοιαν· καί καθάρισόν με ἀπό παντός μολυσμοῦ σαρκός καί πνεύματος**· δίδαξόν με ἐπιτελεῖν ἁγιωσύνην ἐν φόβῳ σου· ἵνα, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεώς μου τῶν ἁγιασμάτων σου τήν μερίδα ὑποδεχόμενος, ἑνωθῶ τῷ ἁγίῳ σώματί σου καί αἵματι, καί ἕξω σε ἐν ἐμοί κατοικοῦντα καί μένοντα, σύν τῷ Πατρί καί τῷ ἁγίῳ Πνεύματι. Ναί, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός μου, καί μή εἰς κρῖμά μοι γένοιτο ἡ μετάληψις τῶν ἀχράντων καί ζωοποιῶν μυστηρίων σου, μηδέ ἀσθενής γενοίμην ψυχῇ τε καί σώματι, ἐκ τοῦ ἀναξίως αὐτῶν μεταλαμβάνειν· ἀλλά δός μοι, μέχρι τελευταίας μου πνοῆς, ἀκατακρίτως ὑποδέχεσθαι τήν μερίδα τῶν ἁγιασμάτων σου, εἰς Πνεύματος ἁγίου κοινωνίαν, εἰς ἐφόδιον ζωῆς αἰωνίου, καί εἰς εὐπρόσδεκτον ἀπολογίαν τήν ἐπί τοῦ φοβεροῦ βήματός σου· ὅπως κἀγώ, σύν πᾶσι τοῖς ἐκλεκτοῖς σου μέτοχος γένωμαι τῶν ἀκηράτων σου ἀγαθῶν, ὧν ἡτοίμασας τοῖς ἀγα-

πῶσί σε, Κύριε· ἐν οἷς δεδοξασμένος ὑπάρχεις εἰς τούς αἰῶνας. ᾿Αμήν.

ΕΥΧΗ Θ΄. ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

**Πρό τῶν θυρῶν τοῦ ναοῦ σου παρέστηκα**, καί τῶν δεινῶν λογισμῶν οὐκ ἀφίσταμαι, ἀλλά σύ Χριστέ ὁ Θεός, ὁ τελώνην δικαιώσας, καί χαναναίαν ἐλεήσας, καί τῷ ληστῇ παραδείσου πύλας ἀνοίξας, ἄνοιξόν μοι τά σπλάγχνα τῆς φιλανθρωπίας σου καί δέξαι με προσερχόμενον καί ἁπτόμενόν σου, ὡς τήν πόρνην, καί τήν αἱμόρρουν· ἡ μέν γάρ, τοῦ κρασπέδου σου ἁψαμένη, εὐχερῶς τήν ἴασιν ἔλαβεν, ἡ δέ, τούς σούς ἀχράντους πόδας κρατήσασα, τήν λύσιν τῶν ἁμαρτημάτων ἐκομίσατο. ᾿Εγώ δέ ὁ ἐλεεινός, ὅλον σου τό σῶμα τολμῶν δέξασθαι, μή καταφλεχθείην· ἀλλά δέξαι με, ὥσπερ ἐκείνας καί φώτισόν μου τά τῆς ψυχῆς αἰσθητήρια, καταφλέγων μου τά τῆς ἁμαρτίας ἐγκλήματα, πρεσβείαις τῆς ἀσπόρως τεκούσης σε, καί τῶν ἐπουρανίων δυνάμεων. ῞Οτι εὐλογητός εἶ, εἰς τούς αἰῶνας τῶν αἰώνων. ᾿Αμήν.

**Πιστεύω Κύριε, καί ὁμολογῶ**, ὅτι σύ εἶ ἀληθῶς ὁ Χριστός, ὁ Υἱός τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθών εἰς τόν κόσμον ἁμαρτωλούς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. ῎Ετι πιστεύω, ὅτι τοῦτο αὐτό ἐστι τό ἄχραντον Σῶμά σου, καί τοῦτο αὐτό ἐστι τό τίμιον Αἷμά σου. Δέομαι οὖν σου· ἐλέησόν με, καί συγχώρησόν μοι τά παραπτώματά μου, τά ἑκούσια καί τά ἀκούσια, τά ἐν λόγῳ τά ἐν ἔργῳ, τά ἐν γνώσει καί ἀγνοίᾳ· καί ἀξίωσόν με ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου Μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν, καί εἰς ζωήν αἰώνιον. ᾿Αμήν.

᾿Ερχόμενος δέ μεταλαβεῖν, λέγει τούς ἑξῆς Στίχους τοῦ Μεταφραστοῦ·

᾿Ιδού, βαδίζω πρός θείαν Κοινωνίαν·
Πλαστουργέ, μή φλέξῃς με τῇ μετουσίᾳ·
Πῦρ γάρ ὑπάρχεις τούς ἀναξίους φλέγον.
᾿Αλλ᾿ οὖν κάθαρον ἐκ πάσης με κηλῖδος.

Καί τά Τροπάρια ταῦτα·

῎Εθελξας πόθῳ με Χριστέ, καί ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι· ἀλλά κατάφλεξον πυρί ἀΰλῳ τάς ἁμαρτίας μου, καί ἐμπλησθῆναι τῆς ἐν σοί τρυφῆς καταξίωσον, ἵνα τάς δύο σκιρτῶν μεγαλύνω, ᾿Αγαθέ, παρουσίας σου.

᾿Εν ταῖς λαμπρότησι τῶν ἁγίων σου, πῶς εἰσελεύσομαι ὁ ἀνάξιος; ᾿Εάν γάρ τολμήσω συνεισελθεῖν εἰς τόν νυμφῶνα, ὁ χιτών με ἐλέγχει, ὅτι οὐκ ἔστι τοῦ γάμου, καί δέσμιος ἐκβαλοῦμαι ὑπό τῶν ᾿Αγγέλων· καθάρισον, Κύριε, τόν ρύπον τῆς ψυχῆς μου, καί σῶσόν με, ὡς φιλάνθρωπος.

Καί τήν παροῦσαν Εὐχήν·

Δέσποτα φιλάνθρωπε, Κύριε ᾿Ιησοῦ Χριστέ, ὁ Θεός μου, μή εἰς κρῖμα μοι γένοιτο τά ῞Αγια ταῦτα, διά τόν ἀνάξιον εἶναί με, ἀλλ᾿ εἰς κάθαρσιν καί ἁγιασμόν ψυχῆς τε καί σώματος, καί εἰς ἀρραβῶνα μελλούσης ζωῆς καί βασιλείας. ᾿Εμοί δέ τό προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ Κυρίῳ τήν ἐλπίδα τῆς σωτηρίας μου.

## Καί πάλιν·

Τοῦ Δείπνου σου τοῦ μυστικοῦ, σήμερον, Υἱέ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μή γάρ τοῖς ἐχθροῖς σου τό μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω, καθάπερ ὁ ᾿Ιούδας· ἀλλ᾿ ὡς ὁ Ληστής ὁμολογῷ σοι· Μνήσθητί μου Κύριε, ἐν τῇ Βασιλείᾳ σου.

*

*Ἐνῶ ψάλλεται τὸ Κοινωνικὸ ἀπὸ τὸ Χορό:*

λέγει ὁ Διάκονος *Μέλισον, Δέσποτα, τὸν ἅγιον ἄρτον.*

Ἱερεὺς *Μελίζεται καὶ διαμερίζεται ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ μελιζόμενος καὶ μὴ διαιρούμενος, ὁ πάντοτε ἐσθιόμενος καὶ μηδέποτε δαπανώμενος, ἀλλὰ τοὺς μετέχοντας ἁγιάζων.*

Διάκονος *Πλήρωσον, Δέσποτα, τὸ ἅγιον ποτήριον.*

Ἱερεὺς *Πλήρωμα ποτηρίου πίστεως Πνεύματος Ἁγίου. Ἀμήν.*

Διάκονος *Εὐλόγησον, Δέσποτα, τὸ ζέον.*

Ἱερεὺς *Εὐλογημένη ἡ ζέσις τῶν ἁγίων σου, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Διάκονος *Ζέσις πίστεως, πλήρης Πνεύματος Ἁγίου. Ἀμήν.*

Ἱερεὺς *Ἰδού, προσέρχομαι Χριστῷ τῷ ἀθανάτῳ Βασιλεῖ καὶ Θεῷ ἡμῶν. Μεταδίδοταί μοι... τῷ ἀναξίῳ ἱερεῖ τὸ τίμιον καὶ πανάγιον σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.*

Ἱερεὺς *Διάκονε, πρόσελθε.*

Διάκονος *Ἰδοὺ προσέρχομαι Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν. Μετάδος μοι, Δέσποτα, τὸ τίμιον καὶ πανάγιον σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.*

*Μεταδίδοταί σοι... τὸ τίμιον καὶ πανάγιον σῶμα...*

Ἱερεὺς *῎Ετι μεταδίδοταί μοι... τῷ ἀναξίῳ ἱερεῖ τὸ τίμιον καὶ πανάγιον καὶ ζωηρὸν αἷμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.*

Ἱερεὺς *Διάκονε, ἔτι πρόσελθε.*

Διάκονος *῎Ετι προσερχομένῳ μετάδος μοι, Δέσποτα, τὸ τίμιον καὶ πανάγιον καὶ ζωηρὸν αἷμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.*

Ἱερεὺς *῎Ετι μεταδίδοταί σοι* ...... *τῷ εὐλαβεστάτῳ διακόνῳ τὸ τίμιον καὶ πανάγιον καὶ ζωηρὸν αἷμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν σου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Ἀμήν.*

***Τοῦτο ἥψατο τῶν χειλέων ἡμῶν, καὶ ἀφελεῖ τὰς ἀνομίας ἡμῶν, καὶ τὰς ἁμαρτίας ἡμῶν περικαθαριεῖ.***

*

*Μετὰ τὴν μετάληψιν τῶν ἐν τῷ βήματι ὁ διάκονος ἐμβάλλει εἰς τὸ ἅγιον ποτήριον τὰς μερίδας τοῦ ἁγίου Ἄρτου καὶ* ***ἐκφωνεῖ πρὸς τὸν λαόν·***

***Μ**ετὰ φόβου Θεοῦ, πίστεως καὶ ἀγάπης προσέλθετε.*

*Καὶ ὁ ἱερεὺς μεταδίδει εἰς ἕνα ἕκαστον διὰ τῆς μιάς λαβίδος.*

Όταν κοινωνεί τους πιστούς, συνήθως λέει: "Μεταλαμβάνει ο δούλος του (...) Θεού Σώμα και Αίμα Χριστού εις άφεσιν αμαρτιών και εις ζωήν αιώνιον".

Ὁ χορός· **Ἀ**μήν, **Ἀ**μήν, **Ἀ**μήν. **Ε**ὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. **Θ**εὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.

***Ἐν δὲ τῷ κοινωνεῖν τοὺς πιστοὺς ὁ χορὸς ψάλλει:***

**Τ**οῦ δείπνου σου τοῦ μυστικοῦ, σήμερον Υἱὲ Θεοῦ κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας· ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι· Μνήσθητί μου Κύριε ἐν τῇ βασιλείᾳ σου.

*Μετὰ δὲ τὴν θείαν μετάληψιν, εὐλογεῖ ὁ ἱερεὺς τὸν λαὸν λέγων·*

*Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.*

Ὁ χορός, ***<u>ἀντὶ τοῦ· Εἴδομεν τὸ φῶς·</u>***

Ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος πλ. δ΄.

**Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι᾽ αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, Φιλάνθρωπε, δόξα σοι.**

Διάκονος *Ὕψωσον, Δέσποτα.*

Ἱερεὺς *Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν· ἡ δόξα σου διαμένει εἰς αἰῶνας αἰώνων.*

Διάκονος *Εὐλόγησον, Δέσποτα.*

Ἱερεὺς *Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμην**, **Ἀμην**, **Ἀμήν**.

*και ψάλλεται το «Πληρωθήτω»* Ἦχος β΄.

**Πληρωθήτω τὸ στόμα ἡμῶν * αἰνέσεώς σου, Κύριε, * ὅπως ὑμνήσωμεν τήν δόξαν Σου, ὅτι ἠξίωσας ἡμᾶς μετασχεῖν τῶν ἁγίων μυστηρίων Σου*. Στήριξον ἡμᾶς ἐν τῶ σῶ ἁγιασμῶ ὅλην τήν ἡμέραν * μελετᾶν τήν δικαιοσύνην Σου. Ἀλληλουΐα, Ἀλληλουΐα, Ἀλληλουΐα.**

*

## ΕΥΧΑΡΙΣΤΙΑ

Ὁ διάκονος·

**Ὀ***ρθοί· μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων καὶ ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.*

Ὁ χορός· **Δόξα σοι Κύριε, δόξα σοι.**

**Ἀ***ντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.*

Ὁ χορός· **Κύριε, ἐλέησον.**

**Τ***ὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.*

Ὁ χορός· **Σοί, Κύριε.**

*Ὁ ἱερεὺς τὴν εὐχαριστήριον εὐχὴν*

*Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὅτι καὶ τῇ παρούσῃ ἡμέρᾳ κατηξίωσας ἡμᾶς τῶν ἐπουρανίων σου καὶ ἀθανάτων μυστηρίων. Ὀρθοτόμησον ἡμῶν τὴν ὁδόν, στήριξον πάντας ἡμᾶς ἐν τῷ φόβῳ σου, φρούρησον ἡμῶν τὴν ζωήν, ἀσφάλισαι ἡμῶν τὰ διαβήματα· εὐχαῖς καὶ ἱκεσίαις τῆς ἐνδόξου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων τῶν Ἁγίων σου.*

*καὶ τὴν ἐκφώνησιν·*

**Ὅ***τι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων·*

*Καὶ λέγων τοῦτο λαμβάνει τὸ ἱ. Εὐαγγέλιον καὶ ποιήσας δι᾽ αὐτοῦ τὸ σημεῖον τοῦ σταυροῦ ἐπὶ τοῦ ἤδη διπλωθέντος εἰλητοῦ ἐπιθέτει αὐτὸ ἐπ᾽ αὐτοῦ.*

Ὁ χορός· **Ἀμήν**.

*

## ΑΠΟΛΥΣΙΣ

Ὁ ἱερεύς· ***Ἐ****ν εἰρήνῃ προέλθωμεν.*

Ὁ χορός· **Ἐν ὀνόματι Κυρίου.**

Ὁ διάκονος· ***Τοῦ Κυρίου δεηθῶμεν.***

Ὁ χορός· **Κύριε, ἐλέησον. Κύριε, ἐλέησον Κύριε, ἐλέησον Πάτερ Ἅγιε Εὐλόγησον**

*Καὶ ὁ ἱερεὺς ἐξελθὼν τῆς Ὡραίας Πύλης ἀναγινώσκει μεγαλοφώνως ἔμπροσθεν τῆς εἰκόνος τοῦ Χριστοῦ τὴν εὐχὴν ταύτην·*

**Ὁ** *εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ. Εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς Ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς ἄρχουσιν ἡμῶν, τῷ στρατῷ καὶ παντὶ τῷ λαῷ σου· ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν**.

**Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.**

**Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.**

**Τὸ ὄνομα Κυρίου Εἴη εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.**

*Ὁ δὲ ἱερεὺς ἀπέρχεται εἰς τὴν Πρόθεσιν καὶ λέγει χαμηλοφώνως τὴν εὐχὴν ἐν τῷ συστεῖλαι τὰ ἅγια*

*Τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν προφητῶν, αὐτὸς ὑπάρχων, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πληρώσας πᾶσαν τὴν πατρικὴν οἰκονομίαν, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

*καὶ τὴν ἐκφώνησιν.*

Ὁ διάκονος· *Τοῦ Κυρίου δεηθῶμεν.*

Ὁ χορός· **Κύριε, ἐλέησον.**

*Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν·*

*Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐφ' ὑμᾶς, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν**.

*Καὶ μετὰ τοῦτο ὁ ἱερεὺς τὴν ἀπόλυσιν **διαλογικῶς**·*

**Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.**

Ὁ χορός· **Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κύριε, ἐλέησον (γ΄). Πάτερ ἅγιε, εὐλόγησον.**

*Ὁ ἐν εἴδει πυρίνων γλωσσῶν οὐρανόθεν καταπέμψας τὸ πανάγιον Πνεῦμα ἐπὶ τοὺς ἁγίους αὐτοῦ μαθητὰς καὶ ἀποστόλους, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης καὶ πάντων τῶν ἁγίων ἐλεήσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.*

*ΧΟΡΟΣ: **Στερεώσαι** Κύριος ὁ Θεός την ἁγίαν και ἀμώμητον πίστιν τῶν εὐσεβῶν και ὀρθοδόξων Χριστιανῶν, συν τῇ ἁγίᾳ Ἐκκλησίᾳ, πόλει καί ἐνορίᾳ (κώμῃ) ταύτῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.*
*Αἰωνία ἡ μνήμη τῶν μακαρίων καί ἀοιδίμων κτητόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης καί πάντων τῶν ὀρθοδόξων.*

Εἶτα ὁ Ἱερεύς, εὐλογῶν τὸν λαὸν, λέγει:

*Ἡ Ἁγία Τριὰς διαφυλάξοι πάντας ὑμᾶς.*

ΧΟΡΟΣ: **Ἀμήν**.

**Τὸν εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς,**
**Κύριε, φύλαττε εἰς πολλὰ ἔτη.**

*Καὶ ποιῶν τὸ σημεῖον τοῦ τιμίου Σταυροῦ μεθ' ὑποκλίσεως, κατακλείει διὰ τοῦ·*

***Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.***

*Ὁ χορὸς καὶ σύμπας ὁ λαός·* **Ἀμήν.**

* * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * *

* * * * *

® **31.05.2026** ®

* * * * *

***Ζῇ Κύριος ὁ Θεός ὁ Παντοκράτωρ!***

*

# 01 ΙΟΥΝΟΥ 2026

## † ΔΕΥΤΕΡΑ μετὰ τὴν Πεντηκοστήν. «ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ»

Τυπικὸν Πεντηκοσταρίου §§51-52.

* * * * *

## ΤΗ ΚΥΡΙΑΚΗ ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ ΕΣΠΕΡΑΣ

(Σημαίνει ταχύτερον διὰ τὴν τῆς γονυκλισίας Ἀκολουθίαν).

***Εἰ δὲ μή*, εν συνεχεία της Θείας Λειτουργίας συνάπτεται συνήθως καὶ ὁ ἑσπερινός, ὡς ἕπεται.**

*

**Ὁ ἑσπερινὸς τῆς γονυκλισίας.** Μετὰ τὸν προοιμιακὸν (ἄνευ Ψαλτηρίου) ἡ μεγάλη συναπτὴ ὡς ἐν τῷ Πεντηκοσταρίῳ.

ΕΙΣ ΤΟ «ΚΥΡΙΕ, ΕΚΕΚΡΑΞΑ», εἰς στίχους 6, ἑσπέρια στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς 3 «Παράδοξα σήμερον» κ.λπ. καὶ τοῦ Προδρόμου ἰδιόμελα ἕτερα 3 «Λύει τοῦ Ζαχαρίου τὴν σιωπήν», «Σήμερον ἡ φωνή», «Θεοῦ Λόγου μέλλοντος», Δόξα, Καὶ νῦν, «Βασιλεῦ οὐράνιε».

ΕΙΣΟΔΟΣ, «Φῶς ἱλαρόν», καὶ τὸ μέγα προκείμενον «Τίς θεὸς μέγας» μετὰ τῶν στίχων αὐτοῦ. Εἶτα αἱ εὐχαὶ τῆς γονυκλισίας κατὰ τὴν ἐν τῷ Πεντηκοσταρίῳ τάξιν.

ΑΠΟΣΤΙΧΑ, τὰ στιχηρὰ τοῦ Πεντηκοσταρίου «Νῦν εἰς σημεῖον τοῖς πᾶσι», Δόξα, τοῦ Προδρόμου «Ἠσαΐου νῦν τοῦ προφήτου», Καὶ νῦν, τῆς ἑορτῆς «Δεῦτε λαοί».

ΑΠΟΛΥΤΙΚΙΑ, «Εὐλογητὸς εἶ, Χριστέ», Δόξα, «Προφῆτα καὶ πρόδρομε», Καὶ νῦν, «Εὐλογητὸς εἶ, Χριστέ».

ΑΠΟΛΥΣΙΣ. «Ὁ ἐκ τῶν πατρικῶν κόλπων κενώσας ἑαυτὸν καὶ τὴν ἡμετέραν ὅλην ἀνθρωπείαν προσλαβόμενος φύσιν καὶ θεώσας αὐτήν, μετὰ δὲ ταῦτα εἰς οὐρανοὺς αὖθις ἀνελθὼν καὶ ἐν δεξιᾷ καθίσας τοῦ Θεοῦ καὶ Πατρός, τό τε θεῖον καὶ ἅγιον καὶ ὁμοούσιον καὶ ὁμοδύναμον καὶ ὁμόδοξον καὶ συναΐδιον Πνεῦμα καταπέμψας ἐπὶ τοὺς ἁγίους αὐτοῦ μαθητὰς καὶ ἀποστόλους καὶ διὰ τούτου φωτίσας μὲν αὐτούς, δι' αὐτῶν δὲ πᾶσαν τὴν οἰκουμένην, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ μητρός, ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου οὗ τὸ γενέθλιον ἑορτάζομεν, τῶν ἁγίων ἐνδόξων πανευφήμων θεοκηρύκων καὶ πνευματοφόρων ἀποστόλων καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς διὰ τὴν ἑαυτοῦ ἀγαθότητα· ἀμήν».

*

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

### ΕΝΑΡΞΙΣ - ΠΡΟΟΙΜΙΑΚΟΣ ΨΑΛΜΟΣ

**Ὁ ἱερεύς·** *Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν.**

*Καὶ ἄρχεται ὁ ἀναγνώστης ἀναγινώσκων τὸν προοιμιακὸν ψαλμόν, λέγων οὕτω·*

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν **τῷ Βασιλεῖ** ἡμῶν Θεῷ.
Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν **Χριστῷ τῷ Βασιλεῖ** ἡμῶν Θεῷ.
Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν **αὐτῷ, Χριστῷ τῷ Βασιλεῖ** καὶ Θεῷ ἡμῶν.

*Ψαλμὸς ργ΄ (103).*

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον· Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.
Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.
Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.
Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.
Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.
Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.
Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.
Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλῦψαι τὴν γῆν.
Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.
Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.
Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει· ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.
Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ· ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.
Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.
Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς, καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.
Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ· καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.
Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσας.
Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.
Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς.
Ἐποίησε σελήνην εἰς καιρούς· ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.
Ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ **δρυμοῦ**.
Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.
Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.
Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.
Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας· ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.
Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.
Ἐκεῖ πλοῖα διαπορεύονται· δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.
Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. Δόντος σου αὐτοῖς, συλλέξουσιν.
Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.
Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.
Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.
Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.
Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται.
ᾎσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.
Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.
Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς.
Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

*Καὶ πάλιν.*

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ· ἔθου σκότος, καὶ ἐγένετο νύξ.
Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.
**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.**
**Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**
*Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός. (ἐκ γ΄)* **Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.**

*Εἶτα, Συναπτὴ μεγάλη ὑπὸ τοῦ* ***Διακόνου.***

*

## ΤΑ ΕΙΡΗΝΙΚΑ

Πληρωθέντος τοῦ προοιμιακοῦ ψαλμοῦ, ὁ ἱερεὺς λέγει ἐνώπιον τῆς ἁγίας Τραπέζης τὰ εἰρηνικά, τοῦ χοροῦ ψάλλοντος μεθ᾽ ἑκάστην δέησιν τὸ

**Κύριε, ἐλέησον.**

*Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.*

*Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν.*
*Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως τοῦ Κυρίου δεηθῶμεν.*
*Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.*
*Ὑπὲρ τοῦ πατρός και ἀρχιεπισκόπου ἡμῶν (**Δεινός**), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ τοῦ Κυρίου δεηθῶμεν.*
*Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ καὶ τοῦ κατὰ ξηράν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ τοῦ Κυρίου δεηθῶμεν.*
*Ὑπὲρ τῆς πόλεως και ενορίας ταύτης, πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς τοῦ Κυρίου δεηθῶμεν.*
*Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν τοῦ Κυρίου δεηθῶμεν.*
*Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν τοῦ Κυρίου δεηθῶμεν.*
*Ὑπὲρ τοῦ ρυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.*
*Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.*
*Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας (***Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς***) μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.*

Ὁ χορός· **Σοί, Κύριε.**

*Ὁ ἱερεὺς ἐκφώνως·*

***Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις,*** *τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν.**

*

## ΟΙ ΕΠΙΛΥΧΝΙΟΙ ΨΑΛΜΟΙ

*Ψαλμὸς ρμ΄ (140). Ἦχος δ΄*

**Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου· εἰσάκουσόν μου, Κύριε. Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου ἐν τῷ κεκραγέναι με πρὸς σέ. Εἰσάκουσόν μου, Κύριε.**

***Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου, ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή. Εἰσάκουσόν μου, Κύριε.***

**Ἱστῶμεν εἰς στίχους 6,** ἑσπέρια στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς 3 «Παράδοξα σήμερον» κ.λπ. καὶ τοῦ Προδρόμου ἰδιόμελα ἕτερα 3 «Λύει τοῦ Ζαχαρίου τὴν σιωπήν», «Σήμερον ἡ φωνή», «Θεοῦ Λόγου μέλλοντος», Δόξα, Καὶ νῦν, «Βασιλεῦ οὐράνιε».

*Στίχ. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.*

Παράδοξα σήμερον, εἶδον τὰ ἔθνη πάντα ἐν πόλει Δαυῒδ, ὅτε τὸ Πνεῦμα κατῆλθε τὸ Ἅγιον ἐν πυρίναις γλώσσαις, καθὼς ὁ θεηγόρος Λουκᾶς ἀπεφθέγξατο. Φησὶ γάρ· Συνηγμένων τῶν Μαθητῶν τοῦ Χριστοῦ, ἐγένετο ἦχος, καθάπερ φερομένης βιαίας πνοῆς, καὶ ἐπλήρωσε τὸν οἶκον, οὗ ἦσαν καθήμενοι· καὶ πάντες ἤρξαντο φθέγγεσθαι, ξένοις ῥήμασι, ξένοις δόγμασι, ξένοις διδάγμασι, τῆς ἁγίας Τριάδος.

*Στίχ. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε· ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.*

**Παράδοξα σήμερον, ...**

*Στίχ. Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.*

Τὸ Πνεῦμα τὸ ἅγιον, ἦν μὲν ἀεί, καὶ ἔστι, καὶ ἔσται, οὔτε ἀρξάμενον, οὔτε παυσόμενον, ἀλλ᾽ ἀεὶ Πατρὶ καὶ Υἱῷ συντεταγμένον, καὶ συναριθμούμενον· ζωή, καὶ ζωοποιοῦν· φῶς, καὶ φωτὸς χορηγόν· αὐτάγαθον, καὶ πηγὴ ἀγαθότητος· δι᾽ οὗ Πατὴρ γνωρίζεται, καὶ Υἱὸς δοξάζεται, καὶ παρὰ πάντων γινώσκεται, μία δύναμις, μία σύνταξις, μία προσκύνησις, τῆς ἁγίας Τριάδος.

*Στίχ. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ᾽ αὐτῷ λύτρωσις, καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.*

**Στιχηρὰ Ἰδιόμελα Ἦχος δ΄. Ἰωάννου Μοναχοῦ.**

Λύει τοῦ Ζαχαρίου τὴν σιωπήν, γεννηθεὶς ὁ Ἰωάννης· καὶ γὰρ οὐδὲ ἔπρεπε, τὸν πατέρα σιωπᾶν, προελθούσης τῆς φωνῆς· ἀλλ᾽ ὥσπερ ἀπιστηθεῖσα πρώην, τὴν γλῶτταν ἔδησεν, οὕτω φανερωθεῖσαν, δοῦναι τῷ πατρὶ τὴν ἐλευθερίαν· ᾧ καὶ εὐηγγελίσθη, καὶ ἐγεννήθη φωνὴ τοῦ Λόγου, καὶ φωτὸς Πρόδρομος, πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Στίχ. ζ΄. Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτόν, πάντες οἱ λαοί.*

Σήμερον ἡ φωνὴ τοῦ Λόγου, τὴν φωνὴν δι᾽ ἀπιστίαν κρατουμένην, λύει τὴν πατρικήν, καὶ τῆς Ἐκκλησίας ἐμφαίνει τὴν εὐτεκνίαν, δεσμὰ τῆς στειρώσεως λύουσα μητρικά· ὁ λύχνος τοῦ φωτὸς προέρχεται· ἡ αὐγὴ τοῦ ἡλίου τῆς δικαιοσύνης, μηνύει τὴν ἔλευσιν, εἰς ἀνάπλασιν πάντων, καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

## Ἀνατολίου. Ὁ αὐτός.

*Στίχ. η΄. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.*

Θεοῦ Λόγου μέλλοντος ἐκ Παρθένου τίκτεσθαι, Ἄγγελος ἐκ στειρωτικῶν ὠδίνων προέρχεται, ὁ μέγας ἐν γεννητοῖς γυναικῶν, καὶ Προφήτου περισσότερος· ἔδει γὰρ θείων πραγμάτων, παραδόξους εἶναι τὰς ἀρχάς· παρ᾽ ἡλικίαν τὸ γόνιμον, καὶ ἄνευ σπορᾶς σύλληψις. Ὁ ποιῶν θαυμάσια, εἰς σωτηρίαν ἡμῶν δόξα σοι.

**Δόξα. Καὶ νῦν.** Ἦχος πλ. β΄.

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρών, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγός· ἐλθέ, καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον Ἀγαθὲ τὰς ψυχὰς ἡμῶν.

*

## ΕΙΣΟΔΟΣ - ΕΠΙΛΥΧΝΙΟΣ ΕΥΧΑΡΙΣΤΙΑ

*Ψαλλομένου τοῦ Καὶ νῦν γίνεται ἡ εἴσοδος ὑπὸ τοῦ ἱερέως καὶ τοῦ διακόνου.*

**Εἴσοδος:** *Ο ιερεύς η ο Διάκονος υψώνει το θυμιατό και λέγει*

Ὁ διάκονος· **Σοφία· ὀρθοί.**

*Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης τὴν ἐπιλύχνιον εὐχαριστίαν χῦμα· Ἐὰν δὲ εἰσοδεύουν δύο ἢ περισσότεροι ἱερεῖς, ψάλλουν αὐτοὶ τὴν ἐπιλύχνιον εὐχαριστίαν.*

Φῶς ἱλαρὸν ἁγίας δόξης, * ἀθανάτου Πατρός, * οὐρανίου, ἁγίου, μάκαρος, * Ἰησοῦ Χριστέ, * ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, * ἰδόντες φῶς ἑσπερινόν, * ὑμνοῦμεν Πατέρα, Υἱόν, * καὶ ἅγιον Πνεῦμα, Θεόν. * Ἄξιόν σε ἐν πᾶσι καιροῖς * ὑμνεῖσθαι φωναῖς αἰσίαις, * Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς· * διὸ ὁ κόσμος σὲ δοξάζει.

*

Ὁ διάκονος· **Ἑσπέρας προκείμενον.**

Καὶ ψάλλεται τὸ προκείμενον τῆς ἡμέρας.

## ΤΟ ΠΡΟΚΕΙΜΕΝΟΝ

Ἦχος βαρύς. *Ψαλμὸς οϛ΄ (76).*

**Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεός, ὁ ποιῶν θαυμάσια μόνος.** (οϛ΄ 14-15)

*Στίχ. α΄. Ὁ Θεός, ἐν τῷ ἁγίῳ ἡ ὁδός σου· ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου. (οϛ΄ 15)*

**Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεός, ὁ ποιῶν θαυμάσια μόνος.** (οϛ΄ 14-15)

*Στίχ. β΄. Καὶ εἶπα· Νῦν ἠρξάμην· αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου. (οϛ΄ 11)*

**Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεός, ὁ ποιῶν θαυμάσια μόνος.** (οϛ΄ 14-15)

*Στίχ. γ΄. Ἐμνήσθην τῶν ἔργων Κυρίου, ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σου. (οϛ΄ 12)*

**Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεός, ὁ ποιῶν θαυμάσια μόνος.** (οϛ΄ 14-15)

* * *

Σημειώσεις ἐκ παλαιῶν τυπικῶν

Κατὰ τὴν γονυκλισίαν «ἐξέρχεται ἔξω τοῦ θυσιαστηρίου ὁ ἱερεύς. Ὁ διάκονος· ἔτι καὶ ἔτι κλίναντες τὰ γόνατα ἐν εἰρήνῃ, καὶ πίπτουσι πάντες χαμαί, καὶ ὁ ἱερεὺς κλίνας τὰ γόνατα ἔμπροσθεν τοῦ βήματος ποιεῖ γονυκλισίαν καὶ ἀνίσταται καὶ ἄρχεται τῶν εὐχῶν εἰς ἐπήκοον πάντων, κατὰ τάξιν, καθὼς περιέχει τὸ εὐχολόγιον» (χφ. Paris. gr. 1154 τυπικὸν ιβ΄ αἰ. φ. 89r). «Ὁ δὲ ἱερεὺς ἵσταται ἔμπροσθεν τῆς ἁγίας τραπέζης φορῶν καὶ τὴν στολὴν αὐτοῦ πᾶσαν καὶ ἐκφωνεῖ· Ἔτι καὶ ἔτι κλίναντες τὰ γόνατα τοῦ Κυρίου δεηθῶμεν. Καὶ ἡμῶν κλινάντων ἐπὶ γῆς τὸ γόνυ ἀσκεπῶν ἀναγινώσκεται παρὰ τοῦ ἱερέως ἡ πρώτη εὐχὴ μεγαλοφώνως εἰς ἐπήκοον πάντων ἀπὸ τοῦ βήματος» (χφ. Paris. gr. 248 πεντηκοστάριον ιδ΄ αἰ. σ. 420).

* * *

## ΕΥΧΑΙ ΓΟΝΥΚΛΙΣΙΑΣ Α΄

Εἶτα λέγει ὁ διάκονος· **Ἔτι καὶ ἔτι, κλίναντες τὰ γόνατα, τοῦ Κυρίου δεηθῶμεν.**

Καὶ ἡμῶν κλινόντων τὰ γόνατα ἐπὶ γῆς, καὶ ἀσκεπῶν ὄντων, ἀναγινώσκει ὁ ἱερεὺς τὰς εὐχὰς ἀπὸ τοῦ βήματος μεγαλοφώνως εἰς ἐπήκοον πάντων.

Ἄχραντε, ἀμίαντε, ἄναρχε, ἀόρατε, ἀκατάληπτε, ἀνεξιχνίαστε, ἀναλλοίωτε, ἀνυπέρβλητε, ἀμέτρητε, ἀνεξίκακε Κύριε· ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· ὁ ποιήσας τὸν οὐρανόν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ δημιουργηθέντα ἐν αὐτοῖς· ὁ πρὸ τοῦ αἰτεῖσθαι τοῖς πᾶσι τὰς αἰτήσεις παρέχων· Σοῦ δεόμεθα, καὶ σὲ παρακαλοῦμεν, Δέσποτα φιλάνθρωπε, τὸν Πατέρα τοῦ Κυρίου, καί Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντος ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντος ἐκ Πνεύματος ἁγίου, καὶ Μαρίας τῆς ἀειπαρθένου, καὶ ἐνδόξου, Θεοτόκου· ὃς πρότερον μὲν λόγοις διδάσκων, ὕστερον δὲ καὶ ἔργοις ὑποδεικνύς, ἡνίκα τὸ σωτήριον ὑφίστατο πάθος, παρέσχεν ἡμῖν ὑπογραμμὸν τοῖς ταπεινοῖς, καὶ ἁμαρτωλοῖς, καὶ ἀναξίοις δούλοις σου, δεήσεις προσφέρειν, ἐν αὐχένος καὶ γονάτων κλίσεσιν, ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Αὐτὸς οὖν, Πολυέλεε καὶ Φιλάνθρωπε, ἐπάκουσον ἡμῶν, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε· ἐξαιρέτως δέ, ἐν τῇ ἡμέρᾳ ταύτῃ τῆς Πεντηκοστῆς, ἐν ᾗ, μετὰ τὸ ἀναληφθῆναι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἰς τούς οὐρανούς, καὶ καθεσθῆναι ἐν δεξιᾷ σοῦ τοῦ Θεοῦ καὶ Πατρός, κατέπεμψε τὸ ἅγιον Πνεῦμα ἐπὶ τοὺς ἁγίους αὐτοῦ μαθητὰς καὶ Ἀποστόλους· ὃ καὶ ἐκάθισεν ἐφ᾽ ἕνα ἕκαστον αὐτῶν καὶ ἐπλήσθησαν ἅπαντες τῆς ἀκενώτου χάριτος αὐτοῦ, καὶ ἐλάλησαν ἑτέραις γλώσσαις τὰ μεγαλεῖά σου, καὶ προεφήτευσαν. Νῦν οὖν δεομένων ἐπάκουσον ἡμῶν, καὶ μνήσθητι ἡμῶν τῶν ταπεινῶν, καὶ κατακρίτων, καὶ ἐπίστρεψον τὴν αἰχμαλωσίαν τῶν ψυχῶν ἡμῶν, τὴν οἰκείαν συμπάθειαν ἔχων ὑπὲρ ἡμῶν πρεσβεύουσαν. Δέξαι ἡμᾶς προσπίπτοντάς σοι, καὶ βοῶντας τό, Ἡμάρτομεν. **Ἐπὶ σὲ ἐπερρίφημεν ἐκ μήτρας, ἀπὸ γαστρός μητρὸς ἡμῶν, Θεὸς ἡμῶν σὺ εἶ· ἀλλ᾽ ὅτι ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι ἡμῶν, γεγυμνώμεθα τῆς σῆς βοηθείας, ἐστερήμεθα ἀπὸ πάσης ἀπολογίας. Ἀλλὰ θαῤῥοῦντες τοῖς οἰκτιρμοῖς σου, κράζομεν·** Ἁμαρτίας νεότητος ἡμῶν, καὶ ἀγνοίας μὴ μνησθῇς, καὶ ἐκ τῶν κρυφίων ἡμῶν καθάρισον ἡμᾶς. **Μὴ ἀποῤῥίψῃς ἡμᾶς εἰς καιρὸν γήρως· ἐν τῷ**

**ἐκλείπειν τὴν ἰσχὺν ἡμῶν, μὴ ἐγκαταλίπῃς ἡμᾶς· πρὶν ἡμᾶς εἰς τὴν γῆν ἀποστρέψαι, ἀξίωσον πρὸς σὲ ἐπιστρέψαι, καὶ πρόσχες ἡμῖν ἐν εὐμενείᾳ καὶ χάριτι**. Ἐπιμέτρησον τὰς ἀνομίας ἡμῶν τοῖς οἰκτιρμοῖς σου· ἀντίθες τὴν ἄβυσσον τῶν οἰκτιρμῶν σου, τῷ πλήθει τῶν πλημμελημάτων ἡμῶν. Ἐπίβλεψον ἐξ ὕψους ἁγίου σου, Κύριε, ἐπὶ τὸν λαόν σου τὸν περιεστῶτα, καὶ ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος· ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου· ῥῦσαι ἡμᾶς ἐκ τῆς καταδυναστείας τοῦ Διαβόλου· ἀσφάλισαι τὴν ζωὴν ἡμῶν τοῖς ἁγίοις καὶ ἱεροῖς νόμοις σου. Ἀγγέλῳ πιστῷ φύλακι παρακατάθου τὸν λαόν σου· πάντας ἡμᾶς συνάγαγε εἰς τὴν Βασιλείαν σου**· δὸς συγγνώμην τοῖς ἐλπίζουσιν ἐπὶ σέ·** ἄφες αὐτοῖς καὶ ὑμῖν τὰ ἁμαρτήματα· καθάρισον ἡμᾶς τῇ ἐνεργείᾳ τοῦ ἁγίου σου Πνεύματος· διάλυσον τὰς καθ᾽ ἡμῶν μηχανὰς τοῦ ἐχθροῦ.

## Ἐπισυνάπτει καὶ ταύτην τὴν εὐχήν.

Εὐλογητὸς εἶ, Κύριε, Δέσποτα **παντοκράτορ**, ὁ φωτίσας τὴν ἡμέραν τῷ φωτὶ τῷ ἡλιακῷ, καὶ τὴν νύκτα φαιδρύνας ταῖς αὐγαῖς τοῦ πυρός· ὁ τὸ μῆκος τῆς ἡμέρας διελθεῖν ἡμᾶς καταξιώσας, καὶ προσεγγίσαι ταῖς ἀρχαῖς τῆς νυκτός, ἐπάκουσον τῆς δεήσεως ἡμῶν, καὶ παντὸς τοῦ λαοῦ σου· καὶ πᾶσιν ἡμῖν συγχωρήσας τὰ ἑκούσια καὶ τὰ ἀκούσια ἁμαρτήματα, πρόσδεξαι τὰς ἑσπερινὰς ἡμῶν ἱκεσίας, καὶ κατάπεμψον τὸ πλῆθος τοῦ ἐλέους σου καὶ τῶν οἰκτιρμῶν σου ἐπὶ τὴν κληρονομίαν σου. **Τείχισον ἡμᾶς ἁγίοις Ἀγγέλοις σου·** ὅπλισον ἡμᾶς ὅπλοις δικαιοσύνης σου· περιχαράκωσον ἡμᾶς τῇ ἀληθείᾳ σου· φρούρησον ἡμᾶς τῇ δυνάμει σου· ῥῦσαι ἡμᾶς ἐκ πάσης περιστάσεως, καὶ πάσης ἐπιβουλῆς τοῦ ἀντικειμένου. Παράσχου δὲ ἡμῖν καὶ τὴν παροῦσαν ἑσπέραν, σὺν τῇ ἐπερχομένῃ νυκτί, τελείαν, ἁγίαν, εἰρηνικήν, ἀναμάρτητον, ἀσκανδάλιστον, ἀφάνταστον, καὶ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων.

*

*Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.*

*Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας* (**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**) *μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.*

Ὁ χορός· **Σοί, Κύριε.**

Ὁ ἱερεὺς ἐκφώνως· ***Σὸν γάρ ἐστι τὸ ἐλεεῖν*** *καὶ σῴζειν ἡμᾶς ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν.**

*

## Η ΕΚΤΕΝΗΣ ΔΕΗΣΙΣ

*Ὁ διάκονος ἐξελθὼν καὶ στὰς ἐν τῷ συνήθει τόπῳ λέγει τὴν ἐκτενῆ δέησιν, τοῦ χοροῦ ἐπιλέγοντος ἐν ἑκάστῃ δεήσει* ***τὸ*** **Κύριε, ἐλέησον** ***τρίς****, ἐν δὲ τῇ τελευταίᾳ ἅπαξ. Ὁ χορὸς εἰς ἑκάστην δέησιν τὸ* **Κύριε, ἐλέησον** *τρίς, εἰς δὲ τὴν τελευταίαν ἅπαξ.*

*Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.*

Ὁ α΄ χορός· **Κύριε, ἐλέησον.** (ἅπαξ)

*Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.*

Ὁ α΄ χορός· **Κύριε, ἐλέησον.** (ἅπαξ)

*Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.*

Ὁ α΄ χορός· **Κύριε, ἐλέησον.** (γ΄)

*Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (**Δεινός**).*

Ὁ α΄ χορός· **Κύριε, ἐλέησον.** (γ΄)

*Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν Ἱερέων, Ἱερομονάχων, Διακόνων καὶ Μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.*

Ὁ α΄ χορός· **Κύριε, ἐλέησον.** (γ΄)

*Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγιείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἱεροῦ Ναοῦ τούτου.*

Ὁ α΄ χορός· **Κύριε, ἐλέησον.** (γ΄)

*Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τοῦ ἱεροῦ Ναοῦ τούτου (ἢ τῆς ἱερᾶς Μονῆς ταύτης) καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων.*

Ὁ α΄ χορός· **Κύριε, ἐλέησον.** (γ΄)

*Ἔτι δεόμεθα καὶ ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ Ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.*

Ὁ α΄χορός· **Κύριε, ἐλέησον.** **(ἅπαξ)**

Ὁ α΄ Ἱερέας λέγει τὴν· **ΕΥΧΗ ΤΗΣ ΕΚΤΕΝΟΥΣ ΙΚΕΣΙΑΣ**

*Κύριε, ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος.*

**«Ἐκφώνως»·**

*Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ β΄ χορός· **Ἀμήν.**

* * *

## ΕΥΧΑΙ ΓΟΝΥΚΛΙΣΙΑΣ Β΄

Εἶτα ὁ διάκονος· Ἔτι καὶ ἔτι, κλίναντες τὰ γόνατα, τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ ἱερεὺς ἐπεύχεται·

Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ τὴν σὴν εἰρήνην δεδωκὼς τοῖς ἀνθρώποις, καὶ τὴν τοῦ παναγίου Πνεύματος δωρεάν, ἔτι τῷ βίῳ καὶ ἡμῖν συμπαρών, εἰς κληρονομίαν ἀναφαίρετον τοῖς πιστοῖς ἀεὶ παρέχων, ἐμφανέστερον δὲ ταύτην τὴν χάριν τοῖς σοῖς μαθηταῖς καὶ Ἀποστόλοις σήμερον καταπέμψας, καὶ τὰ τούτων χείλη πυρίναις στομώσας γλώσσαις, δι᾽ ὧν πᾶν γένος ἀνθρώπων τὴν θεογνωσίαν, ἰδίᾳ διαλέκτῳ, εἰς ἀκοὴν ὠτίου δεξάμενοι, φωτὶ τοῦ Πνεύματος ἐφωτίσθημεν, καὶ τῆς πλάνης ὡς ἐκ σκότους ἀπηλλάγημεν, καὶ τῇ τῶν αἰσθητῶν καὶ πυρίνων γλωσσῶν διανομῇ, καὶ ὑπερφυεῖ ἐνεργείᾳ, τὴν εἰς σὲ πίστιν ἐμαθητεύθημεν, καὶ σὲ θεολογεῖν, σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, ἐν μιᾷ Θεότητι, καὶ δυνάμει, καὶ ἐξουσίᾳ κατηυγάσθημεν. Σὺ οὖν τὸ ἀπαύγασμα τοῦ Πατρός, ὁ τῆς οὐσίας καὶ τῆς φύσεως αὐτοῦ ἀπαράλλακτος, καὶ ἀμετακίνητος χαρακτήρ, ἡ πηγὴ τῆς σωτηρίας καὶ τῆς χάριτος, διάνοιξον κἀμοῦ τοῦ ἁμαρτωλοῦ τὰ χείλη, καὶ δίδαξόν με πῶς δεῖ, καὶ ὑπὲρ ὧν χρὴ προσεύχεσθαι. Σὺ γὰρ εἶ, ὁ γινώσκων τὸ πολὺ τῶν ἁμαρτιῶν μου πλῆθος, ἀλλ᾽ ἡ σὴ εὐσπλαγχνία νικήσει τούτων τὸ ἄμετρον· ἰδοὺ γὰρ φόβῳ παρίσταμαί σοι, εἰς τὸ πέλαγος τοῦ ἐλέους σου τὴν ἀπόγνωσιν ἀπορρίψας τῆς ψυχῆς μου. Κυβέρνησόν μου τὴν ζωήν, ὁ πᾶσαν ῥήματι τὴν κτίσιν ἀρρήτῳ σοφίᾳ δυνάμει κυβερνῶν, ὁ εὔδιος τῶν χειμαζομένων λιμήν, καὶ γνώρισόν μοι ὁδόν, ἐν ᾗ πορεύσομαι. **Πνεῦμα σοφίας σου, τοῖς ἐμοῖς παράσχου διαλογισμοῖς, Πνεῦμα συνέσεως τῇ ἀφροσύνῃ μου δωρούμενος· Πνεῦμα φόβου σου τοῖς ἐμοῖς ἐπισκίασον ἔργοις· καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου· καὶ Πνεύματι ἡγεμονικῷ τὸ τῆς διανοίας μου στήριξον ὀλισθηρόν· ἵνα καθ᾽ ἑκάστην ἡμέραν, τῷ Πνεύματί σου τῷ ἀγαθῷ, πρὸς τὸ συμφέρον ὁδηγούμενος, καταξιωθῶ ποιεῖν τὰς ἐντολάς σου, καὶ τῆς σῆς ἀεὶ μνημονεύειν ἐνδόξου, καὶ ἐρευνητικῆς τῶν πεπραγμένων ἡμῖν παρουσίας· καὶ μὴ παρίδῃς με τοῖς φθειρομένοις τοῦ κόσμου ἐναπατᾶσθαι τερπνοῖς, ἀλλὰ τῶν μελλόντων ὀρέγεσθαι τῆς ἀπολαύσεως ἐνίσχυσον θησαυρῶν.** Σὺ γὰρ εἶπας, Δέσποτα, ὅτι περ, ὅσα ἄν τις αἰτήσηται ἐν τῷ ὀνόματί σου, ἀκωλύτως παρὰ τοῦ σοῦ λαμβάνει συναϊδίου Θεοῦ καὶ Πατρός· διὸ κἀγὼ ὁ ἁμαρτωλός, ἐν τῇ ἐπιφοιτήσει τοῦ ἁγίου σου Πνεύματος, τὴν σὴν ἱκετεύω ἀγαθότητα· **Ὅσα ηὐξάμην, ἀπόδος μοι εἰς σωτηρίαν.** Ναί, Κύριε, ὁ πάσης εὐεργεσίας πλουσιοπάροχος δοτὴρ ἀγαθός· ὅτι

σὺ εἶ ὁ διδοὺς ὑπερεκπερισσοῦ, ὧν αἰτούμεθα. Σὺ εἶ ὁ συμπαθής, ὁ ἐλεήμων, ὁ ἀναμαρτήτως γεγονὼς τῆς σαρκὸς ἡμῶν κοινωνός, καὶ τοῖς κάμπτουσι πρὸς σὲ γόνυ, ἐπικαμπτόμενος φιλευσπλάγχνως, ἱλασμός τε γενόμενος τῶν ἁμαρτιῶν ἡμῶν. Δὸς δή, Κύριε, τῷ λαῷ σου τοὺς οἰκτιρμούς σου· ἐπάκουσον ἡμῶν ἐξ οὐρανοῦ ἁγίου σου· ἁγίασον αὐτοὺς τῇ δυνάμει τῆς σωτηρίου δεξιᾶς σου· σκέπασον αὐτοὺς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· μὴ παρίδῃς τὰ ἔργα τῶν χειρῶν σου· Σοὶ μόνῳ ἁμαρτάνομεν, ἀλλὰ καὶ σοὶ μόνῳ λατρεύομεν· οὐκ οἴδαμεν προσκυνεῖν Θεῷ ἀλλοτρίῳ, οὐδὲ διαπετάζειν πρὸς ἕτερον Θεὸν τὰς ἑαυτῶν, Δέσποτα, χεῖρας. Ἄφες ἡμῖν τὰ παραπτώματα· καὶ προσδεχόμενος ἡμῶν τὰς γονυπετεῖς δεήσεις, ἔκτεινον πᾶσιν ἡμῖν χεῖρα βοηθείας· πρόσδεξαι τὴν εὐχὴν πάντων, ὡς θυμίαμα δεκτόν, ἀναλαμβανόμενον ἐνώπιον τῆς σῆς ὑπεραγάθου Βασιλείας.

### Ἐπισυνάπτει καὶ ταύτην·

Κύριε, Κύριε, ὁ ῥυσάμενος ἡμᾶς ἀπὸ παντὸς βέλους πετομένου ἡμέρας, ῥῦσαι ἡμᾶς καὶ ἀπὸ παντὸς πράγματος ἐν σκότει διαπορευομένου. Πρόσδεξαι θυσίαν ἑσπερινήν, τὰς τῶν χειρῶν ἡμῶν ἐπάρσεις. Καταξίωσον δὲ ἡμᾶς, καὶ τὸ νυκτερινὸν στάδιον ἀμέμπτως διελθεῖν, ἀπειράστους κακῶν· καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ταραχῆς καὶ δειλίας, τῆς ἐκ τοῦ Διαβόλου ἡμῖν προσγινομένης. Χάρισαι ταῖς ψυχαῖς ἡμῶν κατάνυξιν, καὶ τοῖς λογισμοῖς ἡμῶν μέριμναν, τῆς ἐν τῇ φοβερᾷ καὶ δικαίᾳ σου κρίσει ἐξετάσεως. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν, καὶ νέκρωσον τὰ μέλη ἡμῶν τὰ ἐπὶ τῆς γῆς· ἵνα, καὶ ἐν τῇ καθ᾿ ὕπνον ἡσυχίᾳ, ἐμφαιδρυνώμεθα τῇ θεωρίᾳ τῶν κριμάτων σου. Ἀπόστησον δὲ ἀφ᾿ ἡμῶν πᾶσαν φαντασίαν ἀπρεπῆ, καὶ ἐπιθυμίαν βλαβεράν, Διανάστησον δὲ ἡμᾶς ἐν τῷ καιρῷ τῆς προσευχῆς ἐστηριγμένους ἐν τῇ πίστει, καὶ προκόπτοντας ἐν τοῖς παραγγέλμασί σου.

*

*Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.*

*Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας* (**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**) *μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.*

Ὁ χορός· **Σοί, Κύριε.**

Ὁ ἱερεὺς ἐκφώνως· ***Εὐδοκίᾳ, καὶ χάριτι*** *τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾿ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν.**

*

## ΤΟ ΚΑΤΑΞΙΩΣΟΝ

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης·

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾿ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα· συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε· φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· **Ἀμήν**.

* * *

## ΕΥΧΑΙ ΓΟΝΥΚΛΙΣΙΑΣ Γ΄

Μετὰ δὲ τοῦτο, λέγει ὁ διάκονος· Ἔτι καὶ ἔτι, κλίναντες τὰ γόνατα, τοῦ Κυρίου δεηθῶμεν.

### Καὶ ὁ ἱερεὺς τὴν εὐχήν·

Ἡ ἀενάως βρύουσα ζωτικὴ καὶ φωτιστικὴ πηγή, ἡ συναΐδιος τοῦ Πατρὸς δημιουργικὴ δύναμις, ὁ πᾶσαν τὴν οἰκονομίαν, διὰ τὴν τῶν βροτῶν σωτηρίαν, ὑπερκάλλως πληρώσας, Χριστέ, ὁ Θεὸς ἡμῶν· ὁ θανάτου δεσμοὺς ἀλύτους, καὶ κλεῖθρα Ἅδου διαρρήξας, πονηρῶν δὲ πνευμάτων πλήθη καταπατήσας· ὁ προσαγαγὼν σεαυτὸν ἄμωμον ὑπὲρ ἡμῶν ἱερεῖον, τὸ σῶμα δοὺς τὸ ἄχραντον εἰς θυσίαν, τὸ πάσης ἁμαρτίας ἄψαυστόν τε καὶ ἄβατον, καὶ διὰ τῆς φρικτῆς ταύτης, καὶ ἀνεκδιηγήτου ἱερουργίας, ζωὴν ἡμῖν αἰώνιον χαρισάμενος· ὁ εἰς Ἅδου καταβάς, καὶ μοχλοὺς αἰωνίους συντρίψας, καὶ τοῖς κάτω καθημένοις ἄνοδον ὑποδείξας· τὸν δὲ ἀρχέκακον καὶ βύθιον δράκοντα, θεοσόφῳ δελεάσματι ἀγκιστρεύσας, καὶ σειραῖς ζόφου δεσμεύσας ἐν ταρτάρῳ, καὶ πυρὶ ἀσβέστῳ, καὶ σκότῳ ἐξωτέρῳ, διὰ τῆς ἀπειροδυνάμου σου κατασφαλισάμενος ἰσχύος· ἡ μεγαλώνυμος σοφία τοῦ Πατρός· ὁ τοῖς ἐπηρεαζομένοις μέγας ἐπίκουρος φανείς, καὶ φωτίσας τοὺς ἐν σκότει, καὶ σκιᾷ θανάτου καθημένους· Σύ, δόξης ἀενάου Κύριε, καὶ Πατρὸς ὑψίστου Υἱὲ ἀγαπητέ· ἀΐδιον φῶς, ἐξ ἀϊδίου φωτός· Ἥλιε δικαιοσύνης, ἐπάκουσον ἡμῶν δεομένων σου, καὶ ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου, τῶν προκεκοιμημένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, καὶ τῶν λοιπῶν συγγενῶν κατὰ σάρκα, καὶ πάντων τῶν οἰκείων τῆς πίστεως, περὶ ὧν καὶ τὴν μνήμην ποιούμεθα νῦν· ὅτι ἐν σοὶ πάντων τὸ κράτος, καὶ ἐν τῇ χειρί σου κατέχεις πάντα τὰ πέρατα τῆς γῆς. Δέσποτα παντοκράτορ, Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, γένους θνητοῦ τε καὶ ἀθανάτου, καὶ πάσης φύσεως ἀνθρωπίνης δημιουργέ, συνισταμένης τε καὶ πάλιν λυομένης, ζωῆς τε καὶ τελευτῆς, τῆς ἐνταῦθα διαγωγῆς, καὶ τῆς ἐκεῖθεν μεταστάσεως· ὁ χρόνους μετρῶν τοῖς ζῶσι, καὶ καιροὺς θανάτου ἱστῶν, κατάγων εἰς Ἅδου καὶ ἀνάγων, δεσμεύων ἐν ἀσθενείᾳ, καὶ ἀπολύων ἐν δυναστείᾳ· ὁ τὰ παρόντα χρησίμως οἰκονομῶν, καὶ τὰ μέλλοντα λυσιτελῶς διοικῶν· ὁ τοὺς θανάτου κέντρῳ πληγέντας, ἀναστάσεως ἐλπίσι ζωογονῶν. Αὐτὸς Δέσποτα τῶν ἁπάντων, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν, ὁ καὶ ἐν ταύτῃ τῇ ἐσχάτῃ, καὶ μεγάλῃ καὶ σωτηρίῳ ἡμέρᾳ τῆς Πεντηκοστῆς, τὸ μυστήριον τῆς ἁγίας, καὶ ὁμοουσίου, καὶ συναϊδίου, καὶ ἀδιαιρέτου, καὶ ἀσυγχύτου Τριάδος ὑποδείξας ἡμῖν, καὶ τὴν ἐπιφοίτησιν καὶ παρουσίαν τοῦ ἁγίου καὶ ζωοποιοῦ σου Πνεύματος, ἐν εἴδει πυρίνων γλωσσῶν, ἐπὶ τοὺς ἁγίους σου Ἀποστόλους ἐκχέας, καὶ εὐαγγελιστὰς αὐτοὺς θέμενος τῆς εὐσεβοῦς ἡμῶν πίστεως, καὶ ὁμολογητὰς καὶ κήρυκας τῆς ἀληθοῦς ἀναδείξας Θεολογίας· ὁ καὶ ἐν αὐτῇ τῇ παντελείῳ Ἑορτῇ καὶ σωτηριώδει, ἱλασμοὺς ἱκεσίους, ὑπὲρ τῶν κατεχομένων ἐν Ἅδῃ, καταξιώσας δέχεσθαι, μεγάλας τε παρέχων ἡμῖν ἐλπίδας, ἄνεσιν τοῖς κατοιχομένοις τῶν κατεχόντων αὐτοὺς ἀνιαρῶν, καὶ παραψυχὴν παρὰ σοῦ καταπέμπεσθαι. Ἐπάκουσον ἡμῶν τῶν ταπεινῶν, καὶ οἰκτρῶν δεομένων σου· καὶ ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου τῶν προκεκοιμημένων, ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα πᾶσα ὀδύνη, λύπη, καὶ στεναγμός· καὶ κατάταξον τὰ πνεύματα αὐτῶν ἐν σκηναῖς Δικαίων, καὶ εἰρήνης καὶ ἀνέσεως ἀξίωσον αὐτούς· ὅτι οὐχ οἱ νεκροὶ αἰνέσουσί σε, Κύριε, οὐδὲ οἱ ἐν Ἅδῃ ἐξομολόγησιν παῤῥησιάζονται προσφέρειν σοι, ἀλλ᾿ ἡμεῖς οἱ ζῶντες εὐλογοῦμέν σε καὶ ἱκετεύομεν, καὶ τὰς ἱλαστηρίους εὐχὰς καὶ θυσίας προσάγομέν σοι ὑπὲρ τῶν ψυχῶν αὐτῶν.

### Ἐπισυνάπτει καὶ ταύτην τὴν εὐχήν·

Ὁ Θεὸς ὁ μέγας καὶ αἰώνιος, ὁ ἅγιος καὶ φιλάνθρωπος, ὁ καταξιώσας ἡμᾶς καὶ ἐν ταύτῃ τῇ ὥρᾳ στῆναι ἐνώπιον τῆς ἀπροσίτου σου δόξης, εἰς ὕμνον καὶ αἶνον τῶν θαυμασίων σου, ἱλάσθητι ἡμῖν τοῖς ἀναξίοις δούλοις σου· καὶ παράσχου χάριν, τοῦ μετὰ συντετριμμένης καρδίας ἀμετεωρίστως προσενεγκεῖν σοι τὴν τρισάγιον δοξολογίαν, καὶ τὴν εὐχαριστίαν τῶν μεγάλων σου δωρεῶν, ὧν ἐποίησας καὶ ποιεῖς πάντοτε εἰς ἡμᾶς. Μνήσθητι, Κύριε, τῆς ἀσθενείας ἡμῶν, καὶ μὴ συναπολέσῃς ἡμᾶς ταῖς ἀνομίαις ἡμῶν, ἀλλὰ ποίησον μέγα ἔλεος μετὰ τῆς ταπεινώσεως ἡμῶν· ἵνα, τὸ τῆς ἁμαρτίας σκότος διαφυγόντες, ἐν ἡμέρᾳ δικαιοσύνης περιπατήσωμεν· καὶ ἐνδυσάμενοι τὰ ὅπλα τοῦ φωτός, ἀνεπιβουλεύτως διατελέσωμεν ἀπὸ πάσης ἐπηρείας τοῦ πονηροῦ, καὶ μετὰ παρρησίας δοξάσωμεν ἐπὶ πᾶσι, σὲ τὸν μόνον ἀληθινὸν καὶ φιλάνθρωπον Θεόν.

### Ἐπισυνάπτει καὶ τὴν εὐχὴν ταύτην·

Σὸν γὰρ ὡς ἀληθῶς, καὶ μέγα ὄντως μυστήριον, Δέσποτα τῶν ἁπάντων καὶ Ποιητά, ἥ τε πρόσκαιρος λύσις τῶν σῶν κτισμάτων, καὶ ἡ με-

τὰ ταῦτα συνάφεια, καὶ ἀνάπαυσις ἡ εἰς αἰῶνας. Σοὶ χάριν ἐπὶ πᾶσιν ὁμολογοῦμεν, ἐπὶ ταῖς εἰσόδοις ἡμῶν ταῖς εἰς τὸν κόσμον τοῦτον, καὶ ταῖς ἐξόδοις, αἳ τὰς ἐλπίδας ἡμῶν τῆς ἀναστάσεως, καὶ τῆς ἀκηράτου ζωῆς, διὰ τῆς σῆς ἀψευδοῦς ἐπαγγελίας προμνηστεύονται· ἧς ἀπολαύσαιμεν ἐν τῇ δευτέρᾳ μελλούσῃ παρουσίᾳ σου. Σὺ γὰρ εἶ καὶ τῆς ἀναστάσεως ἡμῶν ἀρχηγός, καὶ τῶν βεβιωμένων ἀδέκαστος, καὶ φιλάνθρωπος Κριτής, καὶ τῆς μισθαποδοσίας Δεσπότης καὶ Κύριος· ὁ καὶ κοινωνήσας ἡμῖν παραπλησίως σαρκὸς καὶ αἵματος, διὰ συγκατάβασιν ἄκραν, καὶ τῶν ἡμετέρων ἀδιαβλήτων παθῶν, ἐν τῷ ἑκουσίως εἰς πεῖραν καταστῆναι, προσλαβόμενος σπλάγχνα οἰκτιρμῶν, καὶ ἐν ᾧ πέπονθας πειρασθεὶς αὐτός, τοῖς πειραζομένοις ἡμῖν γενόμενος αὐτεπάγγελτος βοηθός· διὸ καὶ συνήγαγες ἡμᾶς εἰς τὴν σὴν ἀπάθειαν. Δέξαι οὖν, Δέσποτα, δεήσεις καὶ ἱκεσίας ἡμετέρας, καὶ ἀνάπαυσον πάντας τοὺς πατέρας ἑκάστου, καὶ μητέρας, καὶ ἀδελφούς, καὶ ἀδελφὰς καὶ τέκνα, καὶ εἴ τι ἄλλο ὁμογενὲς καὶ ὁμόφυλον, καὶ πάσας τὰς προαναπαυσαμένας ψυχὰς ἐπ᾽ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου· καὶ κατάταξον τὰ πνεύματα αὐτῶν καὶ τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς, ἐν κόλποις Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ, ἐν χώρᾳ ζώντων, εἰς Βασιλείαν οὐρανῶν, ἐν Παραδείσῳ τρυφῆς, διὰ τῶν φωτεινῶν Ἀγγέλων σου εἰσάγων ἅπαντας εἰς τὰς ἁγίας σου μονάς· συνέγειρον καὶ τὰ σώματα ἡμῶν ἐν ἡμέρᾳ, ᾗ ὥρισας, κατὰ τὰς ἁγίας σου καὶ ἀψευδεῖς ἐπαγγελίας. Οὐκ ἔστιν οὖν, Κύριε, τοῖς δούλοις σου θάνατος, ἐκδημούντων ἡμῶν ἀπὸ τοῦ σώματος, καὶ πρὸς σὲ τὸν Θεὸν ἐνδημούντων, ἀλλὰ μετάστασις ἀπὸ τῶν λυπηροτέρων ἐπὶ τὰ χρηστότερα καὶ θυμηδέστερα, καὶ ἀνάπαυσις καὶ χαρά. Εἰ δὲ καί τι ἡμάρτομεν εἰς σέ, ἵλεως γενοῦ ἡμῖν τε καὶ αὐτοῖς· διότι οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου ἐνώπιόν σου, οὐδ᾽ ἂν μία ἡμέρα ᾖ ἡ ζωὴ αὐτοῦ· εἰμὴ μόνος σύ, ὁ ἐπὶ γῆς φανεὶς ἀναμάρτητος, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, δι᾽ οὗ πάντες ἐλπίζομεν ἐλέους τυχεῖν, καὶ ἀφέσεως ἁμαρτιῶν. Διὰ τοῦτο ἡμῖν τε καὶ αὐτοῖς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεός, ἄνες, ἄφες, συγχώρησον τὰ παραπτώματα ἡμῶν, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν γνώσει καὶ ἐν ἀγνοίᾳ, τὰ πρόδηλα, τὰ λανθάνοντα, τὰ ἐν πράξει, τὰ ἐν διανοίᾳ, τὰ ἐν λόγῳ, τὰ ἐν πάσαις ἡμῶν ταῖς ἀναστροφαῖς, καὶ τοῖς κινήμασι· καὶ τοῖς μὲν προλαβοῦσιν ἐλευθερίαν καὶ ἄνεσιν δώρησαι, ἡμᾶς δὲ τοὺς περιεστῶτας εὐλόγησον, τέλος ἀγαθὸν καὶ εἰρηνικὸν παρεχόμενος ἡμῖν τε, καὶ παντὶ τῷ λαῷ σου, καὶ ἐλέους σπλάγχνα καὶ φιλανθρωπίας διανοίγων ἡμῖν, ἐν τῇ φρικτῇ καὶ φοβερᾷ σου παρουσίᾳ· καὶ τῆς Βασιλείας σου ἀξίους ἡμᾶς ποίησον.

Ἐπισυνάπτει καὶ ταύτην·

Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, ὁ πᾶσαν τὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας, ὁ διαχωρήσας ἀνὰ μέσον τοῦ φωτός, καὶ ἀναμέσον τοῦ σκότους, καὶ τὸν ἥλιον θέμενος εἰς ἐξουσίαν τῆς ἡμέρας, σελήνην δὲ καὶ ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός· ὁ καταξιώσας ἡμᾶς τοὺς ἁμαρτωλούς, καὶ ἐπὶ τῆς παρούσης ἡμέρας προφθάσαι τὸ πρόσωπόν σου ἐν ἐξομολογήσει, καὶ τὴν ἑσπερινήν σοι λατρείαν προσαγαγεῖν· Αὐτός, φιλάνθρωπε Κύριε, κατεύθυνον τὴν προσευχὴν ἡμῶν, ὡς θυμίαμα ἐνώπιόν σου, καὶ πρόσδεξαι αὐτὴν εἰς ὀσμὴν εὐωδίας. Παράσχου δὲ ἡμῖν τὴν παροῦσαν ἑσπέραν, καὶ τὴν ἐπιοῦσαν νύκτα εἰρηνικήν· ἔνδυσον ἡμᾶς ὅπλα φωτός· ῥῦσαι ἡμᾶς ἀπὸ φόβου νυκτερινοῦ, καὶ ἀπὸ παντὸς πράγματος ἐν σκότει διαπορευομένου· καὶ δώρησαι ἡμῖν τὸν ὕπνον, ὃν εἰς ἀνάπαυσιν τῇ ἀσθενείᾳ ἡμῶν ἐδωρήσω, πάσης διαβολικῆς φαντασίας ἀπηλλαγμένον. Ναί, Δέσποτα τῶν ἁπάντων, τῶν ἀγαθῶν χορηγέ· ἵνα, καὶ ἐν ταῖς κοίταις ἡμῶν κατανυγόμενοι, μνημονεύωμεν καὶ ἐν νυκτὶ τοῦ παναγίου ὀνόματός σου· καὶ τῇ μελέτῃ τῶν σῶν ἐντολῶν καταυγαζόμενοι, ἐν ἀγαλλιάσει ψυχῆς διανιστῶμεν πρὸς δοξολογίαν τῆς σῆς ἀγαθότητος, δεήσεις καὶ ἱκεσίας τῇ σῇ εὐσπλαγχνίᾳ προσάγοντες, ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν, καὶ παντὸς τοῦ λαοῦ σου, ὃν ταῖς πρεσβείαις τῆς ἁγίας Θεοτόκου ἐν ἐλέει ἐπίσκεψαι.

*

*Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.*

*Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας* (**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**) *μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.*

Ὁ χορός· **Σοί, Κύριε.**

Ὁ ἱερεὺς ἐκφώνως· ***Σὺ γὰρ εἶ ἡ ἀνάπαυσις***, *τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν.**

*

## ΠΛΗΡΩΤΙΚΑ ΚΑΙ ΚΕΦΑΛΟΚΛΙΣΙΑ

Ὁ διάκονος· ***Πληρώσωμεν*** *τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.*

Ὁ χορός· **Κύριε, ἐλέησον.**

Ὁ διάκονος· *Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.*

Ὁ χορός· **Κύριε, ἐλέησον.**

Ὁ διάκονος· *Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρά τοῦ Κυρίου, αἰτησώμεθα.*

Ὁ χορὸς εἰς ἑκάστην δέησιν· **Παράσχου, Κύριε.**

*Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.*

Ὁ χορός· **Παράσχου, Κύριε.**

*Συγγνώμην καὶ ἄφεσιν των ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.*

Ὁ χορός· **Παράσχου, Κύριε.**

*Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρά τοῦ Κυρίου αἰτησώμεθα.*

Ὁ χορός· **Παράσχου, Κύριε.**

*Τὸν ὑπόλοιπον χρόνον της ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.*

Ὁ χορός· **Παράσχου, Κύριε.**

*Χριστιανὰ τὰ τέλη της ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.*

Ὁ χορός· **Παράσχου, Κύριε.**

Ὁ διάκονος · *Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας,* (**Ὑπεραγία Θεοτόκε σῶσον ἡμάς**) *μετὰ πάντων των Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.*

Ὁ χορός· **Σοί, Κύριε.**

Ὁ ἱερεύς· *Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· · **Ἀμήν.**

Ὁ ἱερεύς · *Εἰρήνη πᾶσι.*

Ὁ χορός· · **Καὶ τῷ πνεύματί σου.**

Ὁ διάκονος· *Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνομεν.*

Ὁ χορός· · **Σοί, Κύριε.**

Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς κεφαλοκλισίας

*Κύριε ο Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανούς, καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου· σοὶ γάρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ οἱ σοὶ δοῦλοι τὰς ἑαυτῶν ἔκλιναν κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας, οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν, οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν, καὶ τὴν ἐπιοῦσαν νύκτα, ἀπὸ παντός ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργείας διαβολικῆς, καὶ διαλογισμῶν ματαίων, καὶ ἐνθυμήσεων πονηρῶν.*

«**Ἐκφώνως**»· τὴν ἐκφώνησιν·

*Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν**.

*

## ΤΑ ΑΠΟΣΤΙΧΑ

Καὶ ψάλλομεν τὰ Ἰδιόμελα τοῦ Στίχου. **Ἦχος γ΄.**

**Ν**ῦν εἰς σημεῖον τοῖς πᾶσιν, ἐμφανῶς αἱ γλῶσσαι γεγόνασιν· Ἰουδαῖοι γάρ, ἐξ ὧν κα-

τὰ σάρκα Χριστός, ἀπιστίᾳ νοσήσαντες, θεϊκῆς ἐξέπεσον χάριτος, καὶ τοῦ θείου φωτὸς οἱ ἐξ ἐθνῶν ἠξιώθημεν, στηριχθέντες τοῖς λόγοις τῶν Μαθητῶν, φθεγγομένων τὴν δόξαν τοῦ εὐεργέτου τῶν ὅλων Θεοῦ· μεθ᾽ ὧν τὰς καρδίας σὺν τοῖς γόνασι κλίναντες, ἐν πίστει προσκυνήσωμεν, τῷ ἁγίῳ Πνεύματι στηριχθέντες, Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

*Στίχ. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός, καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν ταῖς ἐγκάτοις μου.* (Ψαλμ. ν΄ 12)

**Ν**ῦν τὸ Παράκλητον Πνεῦμα, εἰς πᾶσαν σάρκα ἐκκέχυται· Ἀποστόλων γάρ χορείας ἀρξάμενον, ἐξ αὐτῶν κατὰ μέθεξιν τοῖς πιστοῖς τὴν χάριν ἐφήπλωσε, καὶ πιστοῦται αὐτοῦ τὴν κραταιὰν ἐπιφοίτησιν, ἐν πυρίνῳ τῷ εἴδει τοῖς Μαθηταῖς διανέμον τὰς γλώσσας, εἰς ὑμνῳδίαν καὶ δόξαν Θεοῦ· διὸ τὰς καρδίας νοερῶς ἐλλαμπόμενοι, ἐν πίστει στηριχθέντες τῷ ἁγίῳ Πνεύματι, δυσωποῦμεν σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Στίχ. Μὴ ἀποῤῥίψῃς με, ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.* (Ψαλμ. ν΄ 13)

**Ν**ῦν περιβάλλονται κράτος, οἱ Χριστοῦ ἀφ᾽ ὕψους Ἀπόστολοι· ἐγκαινίζει γὰρ αὐτοὺς ὁ Παράκλητος ἐν αὐτοῖς καινιζόμενος, μυστικῇ καινότητι γνώσεως· ἣν ταῖς ξέναις φωναῖς, καὶ ὑψηγόροις κηρύττοντες, τὴν ἀΐδιον φύσιν τε καὶ ἁπλῆν, τρισυπόστατον σέβειν τοῦ εὐεργέτου τῶν ὅλων Θεοῦ, ἡμᾶς ἐκδιδάσκουσι· διὸ φωτισθέντες τοῖς ἐκείνων διδάγμασι, Πατέρα προσκυνήσωμεν, σὺν Υἱῷ καὶ Πνεύματι, δυσωποῦντες σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δόξα**. Ἦχος πλ. δ΄. Κασσίας Μοναχῆς.

**Ἡ**σαΐου νῦν τοῦ Προφήτου ἡ φωνή, σήμερον ἐν τῇ τοῦ μείζονος Προφητῶν κυήσει Ἰωάννου πεπλήρωται· Ἰδοὺ γὰρ φησὶν ἀποστελῶ τὸν Ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου. Οὗτος οὖν ὁ τοῦ ἐπουρανίου Βασιλέως στρατιώτης προδραμών, ὡς ἀληθῶς εὐθείας ἐποίει, τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν, ἄνθρωπος μὲν τῇ φύσει, Ἄγγελος δὲ τὸν βίον ὑπάρχων· ἁγνείαν γὰρ παντελῆ, καὶ σωφροσύνην ἀσπασάμενος, εἶχε μὲν τὸ κατὰ φύσιν, ἔφυγε δὲ τὸ παρὰ φύσιν, ὑπὲρ φύσιν ἀγωνισάμενος. Αὐτὸν ἅπαντες πιστοί, ἐν ἀρεταῖς μιμούμενοι, πρεσβεύειν ὑπὲρ ἡμῶν δυσωπήσωμεν, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν.** Ἦχος πλ. δ΄.

**Δ**εῦτε λαοί, τὴν τρισυπόστατον Θεότητα προσκυνήσωμεν, Υἱὸν ἐν τῷ Πατρί, σὺν ἁγίῳ Πνεύματι. Πατὴρ γὰρ ἀχρόνως ἐγέννησεν Υἱόν, συναΐδιον καὶ σύνθρονον, καὶ Πνεῦμα ἅγιον ἦν ἐν τῷ Πατρί, σὺν Υἱῷ δοξαζόμενον· μία δύναμις, μία οὐσία, μία Θεότης, ἣν προσκυνοῦντες πάντες λέγομεν· Ἅγιος ὁ Θεός, ὁ τὰ πάντα δημιουργήσας δι᾽ Υἱοῦ, συνεργείᾳ τοῦ Ἁγίου Πνεύματος. Ἅγιος ἰσχυρός, δι᾽ οὗ τὸν Πατέρα ἐγνώκαμεν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἐπεδήμησεν ἐν κόσμῳ. Ἅγιος ἀθάνατος, τὸ Παράκλητον Πνεῦμα, τὸ ἐκ Πατρὸς ἐκπορευόμενον, καὶ ἐν Υἱῷ ἀναπαυόμενον· Τριὰς ἁγία, δόξα σοι.

*

## ΝΥΝ ΑΠΟΛΥΕΙΣ-ΤΡΙΣΑΓΙΟΝ-ΑΠΟΛΥΤΙΚΙΑ

*Μετὰ τὰ ἀπόστιχα λέγεται ὑπὸ τοῦ προεστῶτος ἢ τοῦ* ***ἱερέως*** *ἡ Ὠδὴ Συμεὼν τοῦ θεοδόχου. (Λουκ. β΄ 29-32)*

*

***Ν****ῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.*

Ὁ ἀναγνώστης τὸ τρισάγιον.

**Ἅ**γιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. **(τρίς)**

***Δ****όξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

**Π**αναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον **(τρίς).**

***Δ****όξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

**Π**άτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ ἱερεύς· ***Ὅ****τι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν.**

*

Καὶ ψάλλεται τὸ ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος πλ. δ΄.

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι᾽ αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, Φιλάνθρωπε, δόξα σοι.

**Δόξα**. Τοῦ Προδρόμου.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Προφῆτα καὶ Πρόδρομε, τῆς παρουσίας Χριστοῦ, ἀξίως εὐφημῆσαί σε οὐκ εὐποροῦμεν ἡμεῖς, οἱ πόθῳ τιμῶντές σε· στείρωσις γὰρ τεκούσης, καὶ πατρὸς ἀφωνία, λέλυνται, τῇ ἐνδόξῳ καὶ σεπτῇ σου γεννήσει, καὶ σάρκωσις Υἱοῦ τοῦ Θεοῦ, κόσμῳ κηρύττεται.

**Καὶ νῦν.**

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι᾽ αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, Φιλάνθρωπε, δόξα σοι.

*

## Η ΑΠΟΛΥΣΙΣ

*

*Μετὰ τὰ ἀπολυτίκια, **ἐὰν μὲν προηγήθη ἀρτοκλασία**·*

Ὁ διάκονος· *Τοῦ Κυρίου δεηθῶμεν.*

Ὁ χορός· **Κύριε, ἐλέησον.**

Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν·

*Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐφ᾽ ὑμᾶς τῇ αὐτοῦ θείᾳ χάριτι καὶ φιλανθρωπίᾳ πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν**.

Ὁ προεστὼς (ἢ ὁ ἀναγνώστης)·

Στερεώσαι Κύριος ὁ Θεὸς τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν σὺν τῇ ἁγίᾳ ἐκκλησίᾳ καὶ τῇ πόλει ταύτῃ εἰς αἰῶνας αἰώνων.

Ὁ χορός· **Ἀμήν**.

*Μετὰ τὰ ἀπολυτίκια, **ἐὰν δὲν προηγήθη ἀρτοκλασία***

ὁ διάκονος λέγει· *Σοφία.*

Ὁ ἀναγνώστης· **Εὐλόγησον.**

Ὁ ἱερεύς· *Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός· **Ἀμήν**.

Ὁ προεστὼς (ἢ ὁ ἀναγνώστης)·

Στερεώσαι Κύριος ὁ Θεὸς τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν σὺν τῇ ἁγίᾳ ἐκκλησίᾳ καὶ τῇ πόλει ταύτῃ εἰς αἰῶνας αἰώνων.

***Ἀκολούθως εἰς ἀμφοτέρας τὰς περιπτώσεις·***

Εἶτα ὁ ἱερεύς· *Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Ὁ ἀναγνώστης·

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Ὁ ἱερεύς· *Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.*

Ὁ ἀναγνώστης·

Δόξα, καὶ νῦν. Κύριε, ἐλέησον γ΄. Πάτερ Ἅγιε Εὐλόγησον.

*Καὶ μετὰ τοῦτο ὁ ἱερεὺς τὴν ἀπόλυσιν διαλογικῶς·*

*Ὁ ἐκ τῶν πατρικῶν κόλπων κενώσας ἑαυτόν, καὶ τὴν ἡμετέραν ὅλην ἀνθρωπείαν προσλαβόμενος φύσιν, καὶ θεώσας αὐτήν, μετὰ δὲ ταῦτα εἰς οὐρανοὺς αὖθις ἀνελθών, καὶ ἐν δεξιᾷ καθίσας τοῦ Θεοῦ καὶ Πατρός, τό τε θεῖον, καὶ ἅγιον, καὶ ὁμοούσιον, καὶ ὁμοδύναμον, καὶ ὁμόδοξον, καὶ συναΐδιον Πνεῦμα καταπέμψας ἐπὶ τοὺς ἁγίους αὐτοῦ μαθητὰς καὶ Ἀποστόλους, καὶ διὰ τούτου φωτίσας μὲν αὐτούς, δι᾽ αὐτῶν δὲ πᾶσαν τὴν οἰκουμένην, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ μητρός· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων ἀποστόλων· τῶν ἁγίων, ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν·* (τοῦ ἁγίου τοῦ ναοῦ)· *τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου* (τῆς ἡμέρας), *καὶ πάντων τῶν ἁγίων, ἐλεῆσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.*

*Καὶ ὁ ἱερεὺς στραφεὶς πρὸς τὴν εἰκόνα τοῦ Χριστοῦ, καὶ ποιῶν τὸ σημεῖον τοῦ τιμίου Σταυροῦ μεθ᾽ ὑποκλίσεως, κατακλείει διὰ τοῦ·*

*Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.*

Ὁ χορὸς καὶ σύμπας ὁ λαός· **Ἀμήν**.

*

*****

® **01.06.2026** ®

*****

***Ζῇ Κύριος ὁ Θεὸς ὁ Παντοκράτωρ!***